www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΘΕΟΔΩΡΟΥ
# ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ

## ΚΑΙ

# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΚΥΡΗΝῌ ΑΓΙΩΝ



Ἔκδοσις Ἱερᾶς Μητροπόλεως Κυρήνης
ΑΘΗΝΑΙ 2014

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ
ΚΑΙ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΚΥΡΗΝῌ ΑΓΙΩΝ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

*Διορθώσεις ὑμνολογικῶν κειμένων:*
Παρέση Τσιρίδου-Μπούσια, φιλόλογος

ISBN: 978-9963-2926-1-5

Ἐκδοτική Παραγωγή

ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

www.tezaurliturgic.ro

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΘΕΟΔΩΡΟΥ
# ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ

## ΚΑΙ
## ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΚΥΡΗΝῌ ΑΓΙΩΝ

**Δρος Χαραλάμπους Μ. Μπούσια,**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

Πρόλογος Σεβασμιωτάτου Μητροπολίτου Κυρήνης,
**κ.κ. Ἀθανασίου**

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΚΥΡΗΝΗΣ



Ἡ θεία Ἀκολουθία ἥδε τῶν τῆς Ἱερᾶς Μητροπόλεως Κυρήνης Ἁγίων, τῶν τε γνωστῶν ἡμῖν καὶ ὧν τὰ ὀνόματα ὁ Θεὸς οἶδεν, ἀφιεροῦται ἐπὶ τιμῇ τοῖς μακαρίᾳ τῇ λήξει γενομένοις, ἀοιδίμοις προκατόχοις ἡμῶν ἐπισκόποις Κυρήνης. Ἐξόχως δὲ τῷ Μακαριωτάτῳ Πάπᾳ καὶ Πατριάρχῃ Ἀλεξανδρείας, κ.κ. Θεοδώρῳ τῷ Β΄, καὶ τῷ παρεσχάτως κατακοσμήσαντι τὴν ἐπισκοπὴν Κυρήνης.

† Ὁ Κυρήνης Ἀθανάσιος

www.tezaurliturgic.ro

† Θεόδωρος ἐλέῳ Θεοῦ Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας καὶ πάσης Ἀφρικῆς

Ἐν περιχαρείᾳ πνευματικῇ προλογίζομεν τήν Ἀκολουθίαν πάντων τῶν ἐν Κυρήνῃ διαλαμψάντων Ἁγίων, τήν ἐκδοθεῖσαν ἀγαθῇ φιλοτιμίᾳ καί εὐλαβικῇ προθέσει τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κυρήνης κυρίου Ἀθανασίου. Ἡ θεμελιωθεῖσα παρά τοῦ, ἐκ Κυρήνης ἕλκοντος τήν καταγωγήν, Ἀποστόλου καί Εὐαγγελιστοῦ Μάρκου καί κοσμηθεῖσα τῷ τοῦ μαρτυρίου στεφάνῳ Ἀλεξανδρινή Ἐκκλησία διῆλθεν τήν ἱστορικήν διαχρονίαν, τετηρηκυῖα τήν γνησίαν Ἀποστολικήν παράδοσιν ἀλώβητον καί ἐσχηκυῖα τήν Κυρήνην ὥσπερ περικλεές Παλλάδιον, παραγηοχόν θεηγόρους τῆς Ὀρθοδόξου πίστεως ἐκφάντορας, οἵ, ὡς πλατύρροες ποταμοί, κατήρδευσαν τήν οἰκουμένην καί, ὡς λαμπροφανής ἀστέρων χορός, ἐλάμπρυναν τόν πολύφωτον τῆς καθολικῆς Ἐκκλησίας οὐρανόν.

Ἡ παροῦσα ἔκδοσις, γεραίρουσα τούς Ἁγίους τῆς κυρηναικῆς γῆς, τούς διασώσαντας τό κατά φύσιν καί ἀνεληλυθότας εἰς τό ὑπέρ φύσιν, θέτει πρό τῶν ἡμετέρων ὀφθαλμῶν παράδειγμα ψυχωφελές τῆς ἐν Χριστῷ ζωῆς, οὐχί ὡς οὐτοπίαν, ἀλλά ὡς πραγματικότητα ἀπαιτοῦσαν ἀγῶνας καί αὐταπάρνησιν. Τῆς παρουσίας τῶν Ἁγίων εἰς τήν ζωήν καί πνευματικήν πορείαν τοῦ πληρώματος τῆς Ἐκκλησίας ἀναγκαίας οὔσης, ἡ παροῦσα λειτουργική ἐντρύφησις εἰς τήν βιοτήν καί τό μαρτύριον αὐτῶν ἀναψυχεῖ τάς ἡμετέρας ψυχάς καί νοηματοδοτεῖ τήν προσωπικήν ἡμῶν μαρτυρίαν ἐν τῷ πνευματικῷ γεωργίῳ τῆς Ἀφρικῆς.

Ὅθεν ἐκθύμως συγχαίρομεν τῷ, ἐκδίδοντι τοῖς αὐτοῦ ἀναλώμασι τήν Ἀκολουθίαν πάντων τῶν ἐν Κυρήνῃ διαλαμψάντων Ἁγίων, Σεβασμιωτάτῳ Μητροπολίτῃ Κυρήνης κυρίῳ Ἀθανασίῳ καί ἀπονέμομεν αὐτῷ τήν Πατριαρχικήν ἡμῶν εὐχήν, ἐπικαλούμενοι ἐπ᾿ αὐτόν τάς πρός Θεόν πρεσβείας τοῦ Ἐφόρου ἡμῶν Ἁγίου Μάρκου.

† ὁ Ἀλεξανδρείας Θεόδωρος β΄

Ἐν τῇ Μεγάλῃ Πόλει
τῆς Ἀλεξανδρείας
τῇ 25ῃ Ἀπριλίου 2013

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Ἰδοὺ χάριτι Θεοῦ καὶ εὐχαῖς τοῦ Μακαριωτάτου Πάπα καὶ Πατριάρχου Ἀλεξανδρείας Κυρίου, Κυρίου Θεοδώρου Β΄, χρηματίσαντος Ἐπισκόπου Κυρήνης, παραδέδοται τύποις ἡ Ἀκολουθία πάντων τῶν διαλαμψάντων Ἁγίων τῆς Ἁγιωτάτης Ἐπισκοπῆς Κυρήνης, τῆς τε πρώτης ἐν Ἱεροσολύμοις κατὰ τοὺς χρόνους τῆς ἐπὶ γῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν οἷς ἀρχηγέται ἐχρημάτισαν οἱ Ἀπόστολοι Μᾶρκος, Σίμων καὶ Λούκιος, καὶ τῆς μετέπειτα ἐν Λιβύῃ, ἐν οἷς προεξάρχει ἡ μορφὴ τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου, προκατόχου ἡμῶν, ἱερῷ πόθῳ ζητηθεῖσα καὶ πολλῇ κατανύξει συντεθεῖσα ὑπὸ τοῦ Μεγάλου Ὑμνογράφου τοῦ Θρόνου τοῦ Ἀποστόλου Μάρκου μουσικολογιωτάτου Κυρίου Χαραλάμπους Μπούσια. Χάριτας ὡς πλείστας ὁμολογοῦμεν τῷ λίαν πεφιλημένῳ ἀδελφῷ Χαραλάμπει Μπούσιᾳ, ὅστις τῇ ὀξείᾳ γραφῇ αὐτοῦ ἐπαῤῥησιάσατο ἐγκωμίοις ὕμνοις τὸ πνευματικὸν κάλλος τῶν ἀκαθαιρέτων στύλων τῆς Κυρήνης, οἵτινες, ὡς παραδείσια μυρίπνοα ἄνθη, κοσμοῦσι καὶ κλεΐζουσι τὴν ἐν οὐρανοῖς θριαμβεύουσαν παλαίφατον καὶ ἀποστολικὴν Ἐκκλησίαν τῆς Κυρήνης.

Ἔστι Κυρήνη πόλις διαβόητος ἐν τῇ Ἱστορίᾳ. Ἔστι καὶ Κυρήνη Ἐπισκοπή, διαλάμψασα πάλαι ἐν ἁγιότητι Χριστοῦ καὶ ἐν τοῖς παροῦσι καιροῖς κληρωθεῖσα ἡμῖν κρίμασιν οἷς οἶδε Κύριος.

Ἡ Κυρήνη ὑπῆρξεν ἑλληνικὴ πόλις, ἱδρυθεῖσα δεκαπέντε χιλιόμετρα ἀπὸ τῆς θαλάσσης ἐν τῇ χώρᾳ τῆς Λιβύης ὑπὸ ἀποίκων ἐκ τῆς νήσου Θήρας κατὰ τὸ δεύτερον ἥμισυ τοῦ ἑβδόμου π.Χ. αἰῶνος. Κατὰ τὴν ἱστορικὴν διαδρομὴν αὐτῆς ἐδέχθη καὶ ἄλλους Ἕλληνας ἀποίκους ἐκ διαφόρων μερῶν. Εὐημερήσασα, ἵδρυσε καὶ αὐτὴ ἐν τῇ περιοχῇ νέας πόλεις, ὅπως τὴν Βάρκαν καὶ τὰς Εὐεσπερίδας. Τὸ ὄνομα τῆς Κυρήνης ἐπιζῇ ἐν τῷ ὀνόματι τοῦ σημερινοῦ χωρίου Grennah. Τὸ ὄνομα τῆς περιοχῆς Κυρηναϊκὴ ἐπιζῇ μέχρι σήμερον ἐν τῇ διεθνεῖ χαρτογραφίᾳ.

Τῷ 525 π.Χ. ἡ Κυρήνη κατελήφθη ὑπὸ τοῦ Καμβύσου, καὶ ἀπετέλεσε μέρος τῆς Περσικῆς αὐτοκρατορίας. Ἀκολούθως ἡ ἑλληνοπρεπεστάτη νύμφη τοῦ Βαρβαρικοῦ (ἢ ἄλλως Μαρμαρικοῦ) Πόντου προσηρτήθη ἐν τῇ οἰκουμένῃ τοῦ Μεγάλου Ἀλεξάνδρου. Ὅταν τὸ κράτος διεμοιράσθη εἰς τοὺς διαδόχους, ἡ Κυρήνη συμπεριελήφθη εἰς τὸ κράτος τῶν Πτολεμαίων τῆς Αἰγύπτου. Ἐπὶ Πτολεμαίου Α΄ τοῦ Σωτῆρος ἐγκατεστάθησαν ἐν Κυρήνῃ πολλοὶ Ἑβραῖοι, προερχόμενοι ἐξ Ἀλεξανδρείας. Ἐπὶ Πτολεμαίου Β΄ τοῦ Εὐεργέτου οἱ Κυρηναῖοι μετεκάλεσαν τοὺς φιλοσόφους Ἔκδηλον καὶ Δημοφάνη, οἵτινες συνέταξαν ὁμοσπονδιακὸν σύστημα διοικήσεως τῶν πόλεων τῆς Κυρηναϊκῆς κατὰ τὸ πρότυπον τῆς Ἀχαϊκῆς Συμπολιτείας καὶ ἀνεκήρυξαν εἰς ἰδιαιτέραν πόλιν τὸν λιμένα τῆς Κυρήνης, ὀνομασθεῖσαν Ἀπολλωνίαν.

Πέντε ὑπῆρξαν αἱ σημαντικαὶ πόλεις τῆς Κυρηναϊκῆς, ὅθεν

www.tezaurliturgic.ro

αὕτη ὠνομάσθη καὶ Πεντάπολις: ἡ πρωτεύουσα Κυρήνη, ἡ Ἀπολλωνία, ἡ Ἀρσινόη Ταύχειρα, ἡ Βερενίκη καὶ ἡ Πτολεμαΐς.

Ἀπὸ τοῦ 163 π.Χ. παρεμβαίνει εἰς τὰ πράγματα τῆς Κυρήνης ἡ Ῥώμη. Τῷ 74 π.Χ. αὕτη ἀνεκήρυξε τὴν Κυρήνην εἰς συγκλητικὴν ἐπαρχίαν, ἐν ᾗ ἡνώθη καὶ ἡ Κρήτη.

Τῷ 115 μ.Χ. ἡ Κυρήνη ὑπέστη μεγάλας καταστροφὰς ἐκ τῆς ἐπαναστάσεως τῶν Ἑβραίων. Πάρθοι, προσηλυτισθέντες εἰς τὴν ἑβραϊκὴν θρησκείαν, ἐπανεστάτησαν κατὰ τῆς ῥωμαϊκῆς κυριαρχίας, καθ᾽ ὧν ἐξεστράτευεν ὁ αὐτοκράτωρ Τραϊανός. Πρὸς ἀντιπερισπασμὸν ὁ ἐν Ἱεροσολύμοις Μέγας Ἀρχιερεὺς τῶν Ἑβραίων ὑπεκίνησεν ἐπανάστασιν, ἥτις ἐξεδηλώθη σφοδρὰ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου, ἐν Κυρήνῃ καὶ ἐν Σαλαμῖνι τῆς Κύπρου. Μετὰ τὰς καταστροφὰς ἡ Κυρήνη οὐδέποτε ἀνέλαβε τὴν προτέραν αἴγλην αὐτῆς. Πρὸς ἀνασυγκρότησιν τῆς πόλεως ὁ αὐτοκράτωρ Ἀδριανὸς μετέφερε νέους ἀποίκους.

Κατὰ τὸν τέταρτον αἰῶνα μ.Χ. ἡ Κυρηναϊκὴ ἀπετέλεσεν ἰδίαν ἐπαρχίαν ἐν τῇ Ρωμαϊκῇ αὐτοκρατορίᾳ, καλουμένην Libya Pentapolis (Λιβύη Πεντάπολις) ἢ Libya Superior (Λιβύη Ἄνω). Κατὰ τὸν πέμπτον αἰῶνα μ.Χ. ἡ Κυρήνη καὶ αἱ ἄλλαι πόλεις τῆς Κυρηναϊκῆς ὑπέφερον ἐξ ἐπιδρομῶν νομαδικῶν φύλων τῆς ἐρήμου. Τῷ 642 μ.Χ. πᾶσαι περιῆλθον εἰς τοὺς Ἄραβας.

Ἡ Κυρήνη ὑπῆρξε πατρὶς διασήμων ἀνδρῶν, διακριθέντων ἐπὶ διανοήσει καὶ γράμμασιν, οἷοι οἱ ἀκόλουθοι:

**Ἀρίστιππος ὁ Πρεσβύτερος.** Ἀναφέρεται ὡς μαθητὴς τοῦ Σωκράτους καὶ διδάσκαλος τῆς Ῥητορικῆς. Ἐγένετο ἱδρυτὴς τῆς Κυρηναϊκῆς Σχολῆς, πρεσβευούσης τὰ δόγματα τοῦ Ἐπικούρου.

**Ἀρήτη ἡ φιλόσοφος.** Ὑπῆρξε θυγάτηρ τοῦ Ἀριστίππου,

διαδεχθεῖσα τὸν πατέρα αὐτῆς ἐν τῇ σχολαρχίᾳ τῆς Κυρηναϊκῆς Σχολῆς.

**Ἀρίστιππος ὁ Νεώτερος.** Ὑπῆρξεν υἱὸς τῆς φιλοσόφου Ἀρήτης, διαδεχθεὶς τὴν μητέρα αὐτοῦ ἐν τῇ σχολαρχίᾳ τῆς Κυρηναϊκῆς Σχολῆς. Ἐδιδάχθη τὴν φιλοσοφίαν παρὰ τῆς μητρὸς αὐτοῦ, διὸ καὶ μητροδίδακτος ἐπωνομάσθη.

**Καρνεάδης.** Μαθητὴς τῆς Ἀκαδημίας, ἀνέλαβεν εἶτα τὴν διεύθυνσιν αὐτῆς, γενόμενος ἱδρυτὴς τῆς Τρίτης ἢ Νέας Ἀκαδημίας. Αἱ ἰδέαι αὐτοῦ περὶ τῶν πιθανοτήτων ἐπηρέασαν καὶ τὸν Κικέρωνα.

**Καλλίμαχος.** Ὑπῆρξε διδάσκαλος ἐν Ἀλεξανδρείᾳ, ὑπηρετήσας καὶ ἐν τῇ Βιβλιοθήκῃ αὐτῆς. Συνέγραψε περὶ πλείστων θεμάτων. Ἡ Σοῦδα ἀποδίδει εἰς τοῦτον περισσοτέρους τῶν ὀκτακοσίων τόμων. Ἐν τῇ ποιήσει προὐτίμα τὰ σύντομα ποιήματα, διαφωνῶν πρὸς τὸν ἐπικὸν Ἀπολλώνιον τὸν Ῥόδιον. Συνέγραψε τὴν πρώτην γραμματολογίαν, ἐπιγράψας αὐτήν: «Πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν».

**Ἐρατοσθένης.** Ὑπῆρξε μαθητὴς τοῦ Καλλιμάχου. Ἔζησεν ἐπί τινα ἔτη ἐν Ἀθήναις, ἐπηρεασθεὶς ὑπὸ τοῦ Ἀρκεσιλάου, διευθυντοῦ τῆς Ἀκαδημίας, καὶ τοῦ Ἀρίστωνος. Ἀπεδέχθη πρόσκλησιν τοῦ Πτολεμαίου Β΄ τοῦ Εὐεργέτου, ὅπως ἀναλάβῃ ὑπηρεσίαν βασιλικοῦ συμβούλου. Ἐγένετο διευθυντὴς τῆς Βιβλιοθήκης τῆς Ἀλεξανδρείας, διαδεχθεὶς τὸν Ἀπολλώνιον τὸν Ῥόδιον. Πρῶτος ἐχρησιμοποίησε περὶ ἑαυτοῦ τὸν ὅρον φιλόλογος. Συνέγραψε πλεῖστα ἔργα, κυρίως μαθηματικὰ καὶ γεωγραφικά. Ὑπελόγισε μετὰ μεγίστης ἀκριβείας τὴν περιφέρειαν τῆς γῆς καὶ ἐπεχείρησεν, ὅπως ὑπολογίσῃ καὶ τὴν ἀπόστασιν τοῦ ἡλίου καὶ τῆς σελήνης. Γνωστὸν παραμένει πάντοτε τὸ κόσκινον τοῦ Ἐρατοσθένους πρὸς εὕρεσιν τῶν πρώτων ἀριθμῶν.

www.tezaurliturgic.ro

**Συνέσιος.** Ὑπῆρξε μαθητὴς τῆς Ὑπατίας τῆς Μαθηματικοῦ ἐν Ἀλεξανδρείᾳ. Ἐν τῇ Ἱστορίᾳ γινώσκεται ὡς εὐγενής, νεοπλατωνικός, ῥήτωρ καὶ ποιητής. Ἐπὶ βραχὺ διάστημα, τριῶν ἢ τεσσάρων ἐτῶν, διετέλεσεν ἐπίσκοπος Κυρήνης-Πτολεμαΐδος.

Κατὰ τὴν ἐπὶ γῆς παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἑβραῖοι ἐκ Κυρήνης ἔχουσιν ἰδίαν Κυρήνην ἐν Ἱεροσολύμοις. Ὁ Σίμων, ὅστις ἠγγαρεύθη, ἵνα ἄρῃ τὸν σταυρὸν τοῦ Κυρίου, ἀνερχομένου εἰς Γολγοθᾶν, ἦν Κυρηναῖος: «καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ» (Μκ ιε΄ 21).

Τὴν πληροφορίαν περὶ τῶν υἱῶν τοῦ Σίμωνος Κυρηναίου ἀναφέρει μόνον ὁ Κύπριος Εὐαγγελιστὴς Μᾶρκος, καθὰ καὶ Κυρηναῖος. Ὁ εὐαγγελιστὴς ἀναφέρει τὸν Σίμωνα καὶ τοὺς υἱοὺς αὐτοῦ, διότι γνωρίζει τούτους ὡς οἰκείους αὐτοῦ καὶ ὡς χριστιανοὺς ἐν τῷ κύκλῳ τῶν Ἀποστόλων. Ἡ παράδοσις ἀναφέρει ὅτι ὁ πατὴρ Σίμων ἠκολούθησε τοὺς Ἀποστόλους εἰς Ἀντιόχειαν καὶ οἱ υἱοὶ Ἀλέξανδρος καὶ Ῥοῦφος ἐπορεύθησαν μετὰ τοῦ Ἀποστόλου Πέτρου εἰς Ῥώμην. Κατὰ τὴν παράδοσιν ὁ Ἀλέξανδρος ἐμαρτύρησεν ἐν Καρθαγένῃ καὶ ὁ Ῥοῦφος ἐχρημάτισε, πιθανῶς ἐπίσκοπος τῆς ἐνεγκαμένης τὸν πατέρα αὐτοῦ Κυρήνης. Ἁγία ὑπῆρξε καὶ ἡ μήτηρ αὐτῶν, ἧς ὁ Ἀπόστολος Παῦλος μνημονεύει ὡς μητρὸς Ῥούφου καὶ αὐτοῦ.

Περίοπτα κέντρα ἑλληνικοῦ πολιτισμοῦ ἐν Ἀφρικῇ ὑπῆρξαν αἱ μεγαλοπόλεις Ἀλεξάνδρεια καὶ Κυρήνη. Ἡ Ῥώμη παρέλαβε τὸν ἑλληνικὸν πολιτισμὸν κυρίως ἐκ τῶν δύο τούτων κέντρων, διαπλάσασα τὸν ῥωμαϊκόν. Διὰ τῆς Κυρήνης, ὡς συνόρου, διεδόθη ἡ ἑλληνικὴ φιλοσοφία καὶ ἡ χριστιανικὴ θεολογία περαιτέρω καὶ εἰς τὴν λατινικὴν βόρειον Ἀφρικήν. Ἡ ἑλληνικὴ

διανόησις καὶ ὁ νεοπλατωνισμὸς διεχύθησαν καὶ εἰς τὴν λατινικὴν βόρειον Ἀφρικήν, ἔνθα ἀνεδείχθησαν μεγάλοι Πατέρες τῆς Ἐκκλησίας, ὡς ὁ Τερτυλλιανὸς καὶ ὁ Αὐγουστῖνος. Ἐκ τῆς ἐνταῦθα ἀναπτύξεως διὰ τῆς ἑλληνικῆς ἐπιδράσεως, ἐν ᾗ ἡ Κυρήνη ἔχει τὸ μέρος αὐτῆς, καθιερώθη ἡ Λατινική, ὡς γλῶσσα τῆς Λατινικῆς Ἐκκλησίας. Ἡ περιώνυμος Κυρήνη ὑπῆρξεν ἐν τῇ Ἀφρικῇ ζῶσα παρουσία ἑλληνισμοῦ καὶ χριστιανισμοῦ.

Κατὰ τὴν πρώτην Πεντηκοστὴν Ἑβραῖοι ἐκ τῆς Κυρηναϊκῆς παρευρίσκοντο ἐν τῷ κηρύγματι τοῦ Ἀποστόλου Πέτρου: «*ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διελέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ;*» (Πρ β΄ 7-11).

Οἱ Κυρηναῖοι Ἑβραῖοι εἶχον ἐν Ἱεροσολύμοις ἰδίαν συναγωγήν, ἧς τὰ μέλη συμμετέσχον ἐν τῇ καταδίκῃ τοῦ πρωτομάρτυρος Στεφάνου: «*ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ*» (Πρ στ΄ 9).

Ἑλληνισταὶ Κύπριοι καὶ Κυρηναῖοι Ἑβραῖοι, πιστεύσαντες εἰς Χριστόν, μετὰ τὸν θάνατον τοῦ Στεφάνου καὶ τὸν ἐπακολουθήσαντα διωγμὸν κατέφυγον εἰς Ἀντιόχειαν καὶ εὐηγγελίζοντο τοὺς ἐκεῖ ἑλληνιστάς: «*οἱ μὲν οὖν διασπαρέντες ἀπὸ*

*τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰμὴ μόνον Ἰουδαίοις. Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν»* (Πρ ια´ 19-20).

Ἐκ τῶν χωρίων τούτων συνάγεται ὅτι Ἑβραῖοι τῆς διασπορᾶς, πιστεύοντες εἰς τὸν Χριστὸν ἐν Ἱεροσολύμοις, ἀπετέλουν πυρῆνας πίστεως ἐν ταῖς πατρίσιν αὐτῶν. Οὕτως ὑπάρχουσι χριστιανοὶ ἐν Ῥώμῃ, πρὸς οὓς ἐπιστέλλει ὁ Ἀπόστολος Παῦλος πρὸ τῆς ἐπισκέψεως αὐτοῦ ἐκεῖ, καὶ πιθανῶς ἐν Κυρήνῃ, μεθ᾽ ὧν ὁ Ἀπόστολος Μᾶρκος, διερχόμενος δι᾽ αὐτῆς ἐκ Ῥώμης πρὸς Ἀλεξάνδρειαν, συνεστήσατο τὴν πρώτην Ἐκκλησίαν τοῦ Χριστοῦ ἐν τῇ ἀφρικανικῇ ἠπείρῳ.

Κρηπῖδα τῆς ἁγίας πίστεως ἡμῶν, ἐφ᾽ ἧς τὰ πάντα ἐστήρικται, ἀποτελεῖ ἡ ἐκ νεκρῶν ἀνάστασις τοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν. Ἡ ἀνάστασις τοῦ Χριστοῦ ἀποτελεῖ καθολικὴν μαρτυρίαν καὶ πίστιν τῆς πρώτης Ἐκκλησίας, ἥτις εἶδεν, ἤκουσεν, ἐψηλάφησε, συνέφαγε καὶ μαρτυρεῖ, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτῆς. Ὁ Ἀπόστολος Πέτρος, ὁ ἰδὼν τὴν ἀνάστασιν, ἐν τῇ ὁμιλίᾳ αὐτοῦ κατὰ τὴν πρώτην Πεντηκοστὴν δὲν περιγράφει αὐτὴν δι᾽ ἀνθρωπίνων ὅρων, ἀλλὰ διὰ τῆς ἀναφορᾶς τοῦ ψαλμοῦ τοῦ Δαβίδ, καθ᾽ ὃν ὁ Θεὸς δὲν θὰ ἀφήσῃ τὸν ὅσιον αὐτοῦ νὰ ἴδῃ τὴν διαφθορὰν τοῦ θανάτου ἐν τῷ Ἅδῃ, ἀλλὰ θὰ ἀναστήσῃ αὐτὸν εἰς αἰωνίαν ζωὴν ἐν τῇ δεξιᾷ αὐτοῦ: *«ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ· Δαυῒδ γὰρ λέγει εἰς αὐτόν· προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι*

*δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου»* (Πρ β´ 24-28).

Ὁ Χριστὸς δὲν ἀνέστη εἰς συνήθη ζωήν, ὡς οἱ ἀναστάντες ὑπ᾽ αὐτοῦ, οἵτινες ἀπέθανον καὶ πάλιν· ἀνέστη εἰς τὴν αἰωνίαν ζωὴν τοῦ Θεοῦ, καὶ ἐξ αὐτῆς ἐμφανίζεται. Δὲν ἐμφανίζεται εἰς τὰς ἐξουσίας, αἵτινες ἐδίωξαν αὐτόν, ἵνα ἐπιβεβαιώσῃ ὑλικοὺς ὅρους ἀναστάσεως, ἀλλ᾽ εἰς τοὺς ἰδίους αὐτοῦ, οἵτινες βλέπουσι καὶ ἀναγνωρίζουσιν αὐτὸν ἐκ τῶν ἔνδον, δι᾽ ἀνοίγματος καρδιῶν καὶ ὀφθαλμῶν. Ἐμφανίζεται ὡς ἄνθρωπος, ἀλλὰ ἐν ἀναστασίμῳ διαστάσει, οὐχὶ ὡς ἦν πρὸ τοῦ θανάτου αὐτοῦ. Οἱ μαθηταὶ ἐν ἀρχῇ δὲν ἀναγνωρίζουσιν αὐτόν, διότι, ὡς αὐτοὶ ὁμολογοῦσιν, ἡ μορφὴ αὐτοῦ ἦν ἑτέρα, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν οὐκ ἦσαν βλέποντες, καὶ αἱ καρδίαι αὐτῶν ἐν ἑαυτοῖς οὐκ ἦσαν καιόμεναι, ὅπως ἀναγνωρίσωσιν αὐτόν. Ὅταν καλῇ αὐτοὺς ἐν τῇ παραλίᾳ, ὅπως συμφάγωσιν ἰχθύν, διστάζουσι, διερωτώμενοι τίς ἐστιν οὗτος, ἀλλ᾽ ἐν τῇ ψυχῇ αὐτῶν γινώσκουσιν ὅτι ὁ Κύριός ἐστιν: *«λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός ἐστιν»* (Ἰω κα´ 12).

Ὁ ἀναστὰς Χριστὸς δὲν δεσμεύεται ὑπὸ τῶν φυσικῶν νόμων τοῦ χώρου καὶ τοῦ χρόνου. Διὰ τῆς ἀναστάσεως ὁ Χριστὸς ἐθέωσε τὸν ἄνθρωπον, ἐλευθερώσας αὐτὸν τῆς δουλείας τοῦ θανάτου. Ἡ θέωσις τοῦ ἀνθρώπου ἀποτελεῖ τὴν οὐσίαν τῆς ἀναστάσεως Αὐτοῦ. Ὁ ἀναστὰς Χριστὸς εἶναι ὁ ἴδιος ἄνθρωπος, ἀλλὰ κατὰ καινὸν τρόπον ὑπάρξεως ἐν τῇ διαστάσει τοῦ ζῶντος Θεοῦ. Θεὸς ὤν, γενόμενος ἄνθρωπος, θανὼν καὶ ἀναστάς, ἐδημιούργησε νέον ὑπέρχωρον ζωῆς, ἐν ᾧ ὁ ἄνθρωπος μετέχει τῆς ἀθανασίας καὶ τῆς ἀφθαρσίας τοῦ ὑπεραιωνίου Θεοῦ.

Ὁ Ἀπόστολος Παῦλος λέγει ὅτι οἱ ἄνθρωποι ἐγνωρίσαμεν τὸν Χριστὸν ὡς ἄνθρωπον, ἀλλὰ πλέον δὲν γνωρίζομεν Αὐτὸν κατὰ τὸν ἴδιον τρόπον, διότι τὰ ἀρχαῖα παρῆλθον καὶ τὰ πάντα ἐγένοντο ἐν Αὐτῷ καινά: «*εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν, ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθε, ἰδοὺ γέγονε καινὰ τὰ πάντα*» (2Κο ε΄ 16).

Κατὰ τὰς ἐμφανίσεις Αὐτοῦ ὁ Χριστὸς συνέτρωγε μετὰ τῶν μαθητῶν αὐτοῦ ἄρτον καὶ ἅλας. Ἡ κοινὴ βρῶσις ἄρτου καὶ ἅλατος θεμελιοῖ ἀῤῥήκτους δεσμούς. Ἡ συνάλισις τοῦ ἀναστάντος Χριστοῦ καὶ τῶν μαθητῶν Αὐτοῦ εἰκονίζει τὸ αἰώνιον δεῖπνον τῆς καινῆς κτίσεως. Τὸ ἅλας, ὡς ἀποτελοῦν ἀντίδοτον τῆς σήψεως καὶ τῆς ἀποσυνθέσεως, εἰκονίζει τὴν κατάργησιν τοῦ θανάτου καὶ τὴν αἰώνιον ζωήν. Συναλιζόμενος ὁ ἀναστὰς Χριστός, συνάπτει διὰ καινῆς διαθήκης τοὺς μαθητὰς Αὐτοῦ καὶ δι᾽ αὐτῶν τὴν ἀνθρωπότητα εἰς κοινωνίαν ζωῆς πρὸς τὸν ζῶντα Θεόν: «*οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου*» (Πρ α΄ 3-4).

Τὸ ἅλας ἀποτελεῖ τὸ πιστὸν τῆς διαθήκης τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων: «*πᾶν ἀφαίρεμα τῶν ἁγίων, ὅσα ἐὰν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ Κυρίῳ, δέδωκά σοι καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· διαθήκη ἁλὸς αἰωνίου ἔστιν ἔναντι Κυρίου σοὶ καὶ τῷ σπέρματί σου μετά σε*» (Ἀρ ιη΄ 19).

Τὸ ἅλας ἀνάγει τὰ ὑλικὰ εἰς ὑπερβατικὴν διάστασιν: «*καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται· οὐ διαπαύσατε ἅλας*

*διαθήκης Κυρίου ἀπὸ θυσιασμάτων ὑμῶν, ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλας»* (Λευ β′ 13).

Τὸ ἅλας ἀποτρέπει τὸν θάνατον καὶ τὸ κακόν: *«καὶ ἐξῆλθεν Ἑλισαιὲ εἰς τὴν διέξοδον τῶν ὑδάτων καὶ ἔῤῥιψεν ἐκεῖ ἅλα καὶ εἶπε· τάδε λέγει Κύριος· ἴαμαι τὰ ὕδατα, οὐκ ἔσται ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη»* (4Βα β′ 21).

Ἅλας εἶναι τὸ ἐντὸς τῆς ψυχῆς ἀπαύγασμα καὶ ἐχέγγυον τῆς βασιλείας τῶν οὐρανῶν: *«πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας καὶ εἰρηνεύετε ἐν ἀλλήλοις»* (Μκ θ′ 49-50).

Ὁ Χριστὸς ηὐλόγησε τοὺς μαθητὰς Αὐτοῦ καὶ ἀνελήφθη εἰς τὸν οὐρανόν, ὅστις τὸν ὑπερόριον πνευματικὸν ὑπέρχωρον τοῦ Θεοῦ σημαίνει: *«ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν»* (Λκ κδ′ 50-51).

Ὁ Χριστὸς τεσσαράκοντα ἡμέρας μετὰ τὴν ἀνάστασιν Αὐτοῦ ἀναλαμβάνει Ἑαυτὸν παρὰ τῷ Πατρί, ὅθεν προῆλθεν, ἀλλὰ δὲν ἀποχωρίζεται τοῦ κόσμου. Εὑρίσκεται πάντοτε ἐν τῷ μέσῳ τῶν ἀνθρώπων. Ἡ παρουσία Αὐτοῦ σημαίνεται διὰ τῆς ἐκκλησίας, τοῦ σώματος καὶ τοῦ αἵματος Αὐτοῦ, δι᾽ ὧν ἐξηγόρασε τὸν ἄνθρωπον ἐκ τῆς κατάρας τοῦ νόμου εἰς τὴν ὄντως ἐλευθερίαν αὐτοῦ, τῶν μυστηρίων, τῶν μαρτυρησάντων καὶ τελειωθέντων ἁγίων, τῶν λειτουργούντων καὶ ἀναφερόντων τοὺς ἀνθρώπους εἰς τὸν Θεὸν ἐπισκόπους, τῶν θαυμάτων, τῆς εὐλογίας. Τὰ σημαίνοντα ταῦτα δὲν ὑπάγονται εἰς τοὺς ὅρους τῆς ἀνθρωπίνης λογικῆς, ἀλλὰ βιοῦνται ἔνδον κατὰ τὸν τρόπον ὑπάρξεως τοῦ ἀναστάντος Χριστοῦ. Ὡς προϋπόθεσιν τῆς θαυματουργίας ὁ Χριστὸς ἐζήτει παρὰ τῶν δεχομένων τὸ

θαῦμα Αὐτοῦ, ὅπως ὁμολογήσωσι τὴν ἔνδον συνάφειαν αὐτῶν πρὸς τὸν Θεόν.

Σημαίνοντα τῆς παρουσίας τοῦ Θεοῦ ἐν τῇ Ἁγίᾳ Γραφῇ εἶναι ἡ νεφέλη καὶ ἡ τριάς. Νεφέλη ἐπεσκίασε τοὺς μαθητάς, ὁρῶντας τὸ ἄκτιστον φῶς, ὃ περιέλαμψε τὸν Χριστὸν κατὰ τὴν μεταμόρφωσιν Αὐτοῦ ἐν τῷ ὄρει Θαβώρ. Ὁ Χριστὸς εἶπε περὶ καταλύσεως καὶ οἰκοδομήσεως τοῦ ναοῦ ἐν τρισὶν ἡμέραις καὶ ἡ ταφὴ αὐτοῦ λέγεται τριήμερος. Τρεῖς ἦσαν οἱ μαθηταί, οἱ ἑορακότες τὴν μεταμόρφωσιν τοῦ Χριστοῦ καὶ τρεῖς αἱ μυροφόροι γυναῖκες, αἱ πορευθεῖσαι λίαν πρωὶ εἰς τὸν τάφον καὶ πρῶται μαθοῦσαι παρ᾽ ἀγγέλου τὴν ἀνάστασιν Αὐτοῦ. Τρεῖς περιφορὰς ποιεῖται καὶ ἡ Ἐκκλησία κατὰ τὰς ἱεροτελεστίας αὐτῆς.

Ἡ παλαίφατος καὶ ἀποστολικὴ Ἐπισκοπὴ Κυρήνης τὴν παρουσίαν τοῦ Θεοῦ διὰ τῆς χορείας τῶν ἁγίων αὐτῆς σημαίνει, ὧν ἀρχηγέτης ὑπῆρξεν ὁ ἱδρυτὴς αὐτῆς, Κυρηναῖος καὶ Κύπριος, Ἅγιος, ἔνδοξος ἀπόστολος Ἰωάννης Μᾶρκος, ὁ Εὐαγγελιστής. Αὕτη ἔσχε τὴν τιμὴν ὅτι ἱδρύθη πρώτη ἐν τῇ Ἀφρικῇ, γενομένη ἀπαρχὴ τῆς σπορᾶς τοῦ λόγου τοῦ Χριστοῦ, ἥτις ἀπέδωκε καρποφορίαν πολλαπλασίονα ἐν πάσῃ τῇ ἠπείρῳ.

Ἐν τοῖς Ἁγίοις τῆς πρώτης Κυρήνης, τῆς ἐν Ἱεροσολύμοις, μνημονεύονται ἡ μήτηρ Μαρία, ὁ υἱὸς αὐτῆς Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος, ὁ ἀνεψιὸς αὐτοῦ Ἀπόστολος Βαρνάβας, ὁ ἀδελφὸς αὐτοῦ Ἀριστόβουλος, ὁ Σίμων ὁ Κυρηναῖος, ὁ ἀράμενος τὸν σταυρὸν τοῦ Κυρίου, ἡ σύζυγος αὐτοῦ, οἱ υἱοὶ αὐτῶν Ἀλέξανδρος καὶ Ῥοῦφος, ὁ Λούκιος, χρηματίσας πρῶτος ἐπίσκοπος Κυρήνης, ἡ παιδίσκη Ῥόδη, ὁ Ὀνησιφόρος.

Ἐν τῇ ἐπισκοπῇ Κυρήνης, τῇ ἐν Ἀφρικῇ, ἀνεφάνησαν Ἅγιοι, γνωστοὶ τοῖς ἀνθρώποις καὶ ἄγνωστοι, οὓς οἶδεν ὁ Θεός. Ἅγιοι,

καταγόμενοι ἐκ Κυρήνης ἢ σχετιζόμενοι κατά τινα τρόπον πρὸς αὐτήν, ἀναφέρονται καὶ ἐν συγκεχυμέναις ἐξωβιβλικαῖς πηγαῖς, οὓς οἶδεν ὁ Θεός.

Ὁ Ἀπόστολος Παῦλος ἐν τῇ Πρὸς Κολασσαεῖς ἐπιστολῇ αὐτοῦ ἀποκαλεῖ τὸν Μᾶρκον ἀνεψιὸν Βαρνάβα, συνιστῶν αὐτόν: «*ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα - περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν*» (Κολ δ΄ 10).

Ὁ ὅρος ἀνεψιὸς ἐν τῇ ἀρχαίᾳ γλώσσῃ ἐδήλου τὸν ἐξάδελφον, ὡς καὶ νῦν ἐν Κύπρῳ. Ἀργότερον οὗτος ὑποκατέστησε τὸν ὅρον ἀδελφιδοῦς, τὸν δηλοῦντα τὸν υἱὸν ἀδελφοῦ. Ὁ Μᾶρκος καὶ ὁ Βαρνάβας ἦσαν ἀνεψιοί, ἤτοι ἐξάδελφοι, υἱοὶ δύο ἀδελφῶν[1]. Ἐκ τῶν γονέων τυγχάνει γνωστὴ μόνον ἡ μήτηρ

---

1. Ἐν ταῖς ἰνδοευρωπαϊκαῖς γλώσσαις ὁ ὅρος ἀνεψιὸς κυμαίνεται. Σημαίνει πρόσωπον ἐγγυτάτης συγγενείας, ἐξάδελφον, ἀδελφιδοῦν καὶ ἔγγονον. Ἐν τῇ νέᾳ Ἑλληνικῇ γλώσσῃ ἀνεψιοὶ εἶναι οἱ υἱοὶ ἀδελφῶν ἐν τῇ πρὸς αὐτοὺς σχέσει, ὡς ἐν τῇ κοινῇ, ἢ οἱ υἱοὶ ἀδελφῶν ἐν τῇ μεταξὺ αὐτῶν σχέσει, ὡς ἐν τῷ Κυπριακῷ ἰδιώματι.

Ὁ Παναγιώτης Ν. Τρεμπέλας, ἑρμηνεύων τὸν ὅρον ἀνεψιὸς τοῦ Εὐαγγελίου, παραθέτει ἀμφοτέρας τὰς σημασίας: «Εἰς τὴν πρὸς Κολασσαεῖς ἐπιστολὴν (δ΄ 10) ὁ εὐαγγελιστὴς Μᾶρκος ὀνομάζεται καὶ "ἀνεψιὸς Βαρνάβα" ἢ ἀπὸ ἀδελφὸν ἢ ἀπὸ ἀδελφήν. Ἴσως ὅμως "ἀνεψιὸς" νὰ σημαίνῃ καὶ πρῶτος ἐξάδελφος» (Ἡ Καινὴ Διαθήκη μετὰ συντόμου ἑρμηνείας, ἔκδοσις τεσσαρακοστὴ τετάρτη, σ. 133).

Ὁ ὅρος ἀνεψιὸς πρέπει να ληφθῇ μετὰ τῆς σημασίας, ἣν εἶχεν, ὅτε ἐπέστελλεν ὁ Ἀπόστολος Παῦλος.

Τὸ Ἑλληνο-Ἀγγλικὸν Λεξικὸν τῆς Ὀξφόρδης παρέχει τὴν σημασίαν τοῦ ὅρου ἐν τῇ ἀρχαίᾳ γλώσσῃ ὡς πρώτου ἐξαδέλφου ἢ γενικῶς ἐξαδέλφου μετὰ παραπομπῶν εἰς Ἰλιάδα, Ἡρόδοτον, Αἰσχύλον, Ἀνδοκίδην, Ἰσαῖον, Θεόκριτον καὶ ἄλλους.

Ἡ σημασία ἀδελφιδοῦς εἶναι βυζαντινή, καθιερωθεῖσα ἐν τῷ βυζαντινῷ δικαίῳ. Πρώτη ἀναφορὰ αὐτῆς εὕρηται παρὰ Πορφυρίῳ τοῦ τρίτου μ.Χ.

τοῦ Μάρκου, καλουμένη Μαρία. Ὡς οἱ ἀναλαβόντες δρᾶσιν ἐν τῷ Εὐαγγελίῳ κατατάσσονται ἐν τῇ χορείᾳ τῶν Ἁγίων, οὕτω καὶ ἡ Μαρία, ἡ παραχωρήσασα τὸν οἶκον αὐτῆς πρὸς σύναξιν τῆς πρώτης Ἐκκλησίας τοῦ Χριστοῦ ἐν Ἱεροσολύμοις. Ἐκ τῶν συμφραζομένων καὶ τῆς συνήθους παρ᾽ Ἑβραίοις ἐνδογαμίας καθίσταται πιθανὴ καὶ εὔλογος ἡ ἀκόλουθος σχέσις: Ἐκ τῆς διασπορᾶς τῶν Ἑβραίων δημιουργοῦνται ἐν Ἱεροσολύμοις κοινότητες διασπορᾶς, ἐν αἷς καὶ κοινότητες Κυρηναίων καὶ Κυπρίων Ἑβραίων. Μεταξὺ τῶν κοινοτήτων συνάπτονται γάμοι. Οὕτω δύο ἀδελφοὶ Κύπριοι νυμφεύονται δύο ἀδελφὰς Κυρηναίας, ὧν μνημονεύεται μόνον ἡ Μαρία. Υἱὸς τῆς Μαρίας εἶναι ὁ Μᾶρκος καὶ υἱὸς τῆς ἀγνώστου ἀδελφῆς αὐτῆς ὁ Βαρνάβας. Κατὰ ταῦτα οἱ ἀνεψιοὶ Μᾶρκος καὶ Βαρνάβας τυγχάνουσι Κύπριοι ἐκ πατρός, ἅμα καὶ Κυρηναῖοι ἐκ μητρός[2]. Ὁ Βαρνάβας μνημονεύεται ὡς Λευΐτης. Ἄρα καὶ ὁ ἐξάδελφος αὐτοῦ Μᾶρκος εἶναι Λευΐτης.

---

αἰῶνος. Ὁμοίως ἐν Κύπρῳ ἐπὶ τοῦ ἀδελφιδοῦ καθιερώθη ὁ ὅρος ἀδελφότεκνος κατὰ τὰ ἀνδράδελφος, γυναικάδελφος.

Ὁ Ἐ Ἀ. Σοφοκλῆς ἐν τῷ Λεξικῷ αὐτοῦ παρέχει τὴν βυζαντινὴν σημασίαν ἀνεψιός= ἀδελφιδοῦς καὶ ἀνεψιά=ἀδελφιδῆ.

Κατὰ ταῦτα Βαρνάβας καὶ Μᾶρκος εἶναι πρῶτοι ἐξάδελφοι ἐκ πατέρων ἀδελφῶν.

2. Ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος ἐν τῷ «Μαρτυρίῳ» αὐτοῦ μνημονεύεται ὡς Κυρηναῖος. Ὁ Ἀρχιεπίσκοπος Ἀθηνῶν Χρυσόστομος Παπαδόπουλος γράφει περὶ αὐτοῦ: «*Ὡς ἀφετηρίαν τῆς ἀποστολικῆς αὐτοῦ δράσεως ἐν Αἰγύπτῳ ἔσχε τὴν Κυρηναϊκὴν χώραν, ἐξ ἧς κατὰ τὸ "Μαρτύριον» αὐτοῦ κατήγετο"*» (Ἱστορία τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας, 62-1934, ἔκδοσις δευτέρα, σ. 55).

Ὁμοίως κατὰ τὴν παράδοσιν τῆς Κοπτικῆς Ἐκκλησίας τῆς Αἰγύπτου ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος κατάγεται ἐκ Κυρήνης.

Ὁ Μᾶρκος ἐπιδεικνύει ἰδιαίτερον ἐνδιαφέρον διὰ τὴν Κυρήνην. Ἐπισκέπτεται αὐτὴν καὶ ἱδρύει τὴν Ἐκκλησίαν Κυρήνης, πρώτην ἐν τῇ ἀφρικανικῇ

Ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος ἔφερε τὸ ἑβραϊκὸν ὄνομα Ἰωάννης, προσελάβετο δὲ καὶ τὸ ῥωμαϊκὸν ὄνομα Μᾶρκος κατὰ τὸ ἔθος τῆς ἐποχῆς. Ἡ οἰκία τῆς μητρὸς αὐτοῦ Μαρίας ἐν Ἱεροσολύμοις ἐχρησιμοποιεῖτο ὑπὸ τοῦ Ἀποστόλου Πέτρου καὶ τῶν περὶ αὐτὸν ὡς τόπος συνάξεως καὶ διοικήσεως τῆς πρώτης Ἐκκλησίας. Γνωρίσας τὸν Μᾶρκον ἐν τῇ οἰκίᾳ τῆς μητρὸς αὐτοῦ, ὁ Ἀπόστολος Πέτρος ἀποκαλεῖ αὐτὸν υἱὸν αὐτοῦ ἐν τῇ πρώτῃ καθολικῇ ἐπιστολῇ αὐτοῦ: «*ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι* (=Ῥώμῃ) *συνεκλεκτή* (=ἐκκλησία) *καὶ Μᾶρκος ὁ υἱός μου*» (1Πε ε΄ 13).

Τὸ κατὰ Μᾶρκον Ἅγιον Εὐαγγέλιον ἀποτελεῖ τὸ κήρυγμα τοῦ Ἀποστόλου Πέτρου, ὅπερ παρέδωκε τῷ μαθητῇ καὶ κατὰ χάριν υἱὸν αὐτοῦ Ἀπόστολον Μᾶρκον. Κατὰ πᾶσαν πιθανότητα τοῦτο συνεγράφη ἐν Ῥώμῃ, ἀποκληθὲν Λόγια καὶ ἀποτελέσαν τὸ πρῶτον προευαγγελικὸν κείμενον.

Ὁ Ἀπόστολος Πέτρος μετὰ τὴν διὰ θαύματος ἀπελευθέρωσιν αὐτοῦ ἐκ τῆς φυλακῆς καταφεύγει εἰς τὴν οἰκίαν τῆς μητρὸς τοῦ Μάρκου Μαρίας. Ἡ ὑποδεχομένη αὐτὸν ἐν τῇ θύρᾳ παιδίσκη, καλουμένη, ἐπίτηδες, ὀνομαστὶ Ῥόδη, ἀνήκει τῇ συνοδείᾳ τῆς οἰκοδεσποίνης Μαρίας, οὖσα μία τῶν Ἁγίων, τῶν ἀναφερομένων ὑπὸ τοῦ Εὐαγγελίου.

---

ἠπείρῳ. Ἐκεῖθεν μεταβαίνει εἰς τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν, ἔνθα ἱδρύει καὶ τὴν Ἐκκλησίαν αὐτῆς. Ἀλλὰ καὶ μετὰ τὴν ἵδρυσιν τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας ἐπισκέπτεται τὴν Κυρήνην καὶ διατρίβει ἐν αὐτῇ.

Ὑποτοπάζεται ὅτι ὁ Μᾶρκος ἀποκαλεῖται Κυρηναῖος, οὐχὶ μόνον διότι ἀφωρμήθη ἐκ Κυρήνης, ἵνα ἱδρύσῃ τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας, ἀλλὰ καὶ διότι ἕλκει καταγωγὴν ἐξ αὐτῆς. Συσχετιστικῶς ὑποτοπάζεται, ὅτι ἡ μήτηρ αὐτοῦ Μαρία προέρχεται ἐκ πλουσίας κυρηναϊκῆς οἰκογενείας. Ἐγκατεστάθη ἐν Ἱεροσολύμοις, καὶ ἔχει περίοπτον οἰκίαν μετ᾽ ἀνωγαίου. Ὡς ἰδιόκτητος, ἡ οἰκία μνημονεύεται ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ διὰ τοῦ ὀνόματος αὐτῆς, οὐχὶ διὰ τοῦ ὀνόματος τοῦ συζύγου αὐτῆς.

«(Ὁ Πέτρος) *συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. Κρούσαντος δὲ αὐτοῦ τὴν θύραν τοῦ πυλῶνος προσῆλθε παιδίσκη ὑπακοῦσαι ὀνόματι Ῥόδη*» (Πρ ιβ΄ 12-13).

Ὁ Μᾶρκος συνοδεύει τοὺς Ἀποστόλους Βαρνάβαν καὶ Παῦλον, ἐπιστρέφοντας εἰς Ἀντιόχειαν, ἀφοῦ μετήνεγκον συνεισφορὰς ἀδελφῶν εἰς Ἱεροσόλυμα. Ἄρχεται οὕτω τῆς ἱεραποστολικῆς περιοδείας αὐτοῦ: «*Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μᾶρκον*» (Πρ ιβ΄ 25).

Ἀκολούθως ὁ Μᾶρκος συνοδεύει τοὺς Ἀποστόλους Βαρνάβαν καὶ Παῦλον κατὰ τὴν πρώτην ἀποστολικὴν περιοδείαν εἰς Κύπρον. Ἐκ τῆς Κύπρου οἱ Ἀπόστολοι διεπεραιώθησαν εἰς Μικρὰν Ἀσίαν πρὸς συνέχισιν τῆς περιοδείας. Ἐν Πέργῃ τῆς Παμφυλίας ὁ Μᾶρκος, καταληφθεὶς ὑπὸ νοσταλγίας, ἐχωρίσθη τοῦ Βαρνάβα καὶ Παύλου, ἐπιστρέψας εἰς Ἱεροσόλυμα: «*ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα*» (Πρ ιγ΄ 13).

Ὁ Ἀπόστολος Παῦλος ἤρξατο τότε τῆς δευτέρας περιοδείας αὐτοῦ κατὰ τὰς πόλεις τῆς Μικρᾶς Ἀσίας καὶ τῆς Ἑλλάδος. Οἱ δύο συνεργάται ἀνεψιοί, Βαρνάβας καὶ Μᾶρκος, χωρισθέντες, κατῆλθον εἰς Κύπρον: «*Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάννην τὸν ἐπικαλούμενον Μᾶρκον· Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. Ἐγένετο οὖν παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς Κύπρον*» (Πρ ιε΄ 37-39).

Περὶ τῆς δράσεως τοῦ Βαρνάβα καὶ τοῦ Μάρκου ἐν Κύπρῳ κατὰ τὴν ἐπίσκεψιν αὐτῶν αἱ Πράξεις τῶν Ἀποστόλων σιγῶσι. Εἰδήσεις περὶ αὐτῆς παρέχονται ὑπὸ τῆς μεταγενεστέρας γραμματείας.

Ὁ ἄτεγκτος Παῦλος, ὁ καταγνώσας τοῦ Μάρκου ὀλιγωρίαν διὰ τὸν χωρισμὸν αὐτοῦ ἐν Πέργῃ, προσελάβετο καὶ πάλιν τοῦτον ὡς πολύτιμον συνεργάτην αὐτοῦ. Ὡς φαίνεται ἐκ τῆς ἐπιστολῆς πρὸς Φιλήμονα, ὁ Μᾶρκος εὑρίσκεται μετὰ τοῦ Παύλου κατὰ τὴν πρώτην φυλάκισιν αὐτοῦ ἐν Ῥώμῃ: «*ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου*» (Φλμ 23-24).

Ὁμοίως ὁ Παῦλος κατὰ τὴν δευτέραν φυλάκισιν αὐτοῦ ἐν Ῥώμῃ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ αὐτοῦ πρὸς Τιμόθεον ζητεῖ τὸν Μᾶρκον: «*Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι χρήσιμος εἰς διακονίαν*» (2Τιμ δ´ 11).

Ὁ Μᾶρκος ἦλθεν εἰς Ῥώμην πρὸς τὸν Ἀπόστολον Παῦλον, συναντηθεὶς καὶ πρὸς τὸν ἐκεῖ εὑρισκόμενον Ἀπόστολον Πέτρον. Ἐκ Ῥώμης ἐπεδήμησεν εἰς Κυρήνην, ἔνθα ἐκ χριστιανῶν τῆς πρώτης Κυρήνης, εὑρισκομένων αὐτόθι, καὶ πιθανῶς καὶ συγγενῶν τῆς μητρὸς αὐτοῦ, ἵδρυσε τὴν Ἐκκλησίαν αὐτῆς. Συνεχίζων τὸ ἱεραποστολικὸν ἔργον αὐτοῦ, μετέβη ἐκ Κυρήνης εἰς τὴν λαμπρὰν Ἀλεξάνδρειαν, ἔνθα ἵδρυσε καὶ τὴν Ἐκκλησίαν αὐτῆς. Εἰς τὴν ἀγαπητὴν Κυρήνην ἐπανῆλθε τὸ δεύτερον ὁ Μᾶρκος κατὰ τοὺς διωγμοὺς τῶν χριστιανῶν ἐν Ἀλεξανδρείᾳ. Ἐπέστρεψεν εἰς Ἀλεξάνδρειαν, ἐν ᾗ, εὑρισκόμενος, ἐδέχθη καὶ τὸ μαρτυρικὸν τέλος.

Ὁ ἐξάδελφος τοῦ Ἀποστόλου Μάρκου Ἀπόστολος Βαρνάβας μνημονεύεται ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ὡς Κύ-

πριος Λευΐτης. Τὸ ἀρχικὸν ὄνομα αὐτοῦ ἦν Ἰωσῆς, ὅπερ μετέβαλον οἱ Ἀπόστολοι. Οὗτος ἐπώλησεν ἀγρόν, ἐν Κύπρῳ ἢ ἐν Ἱεροσολύμοις, καὶ παρέθεσε τὰ χρήματα παρὰ τοὺς πόδας τῶν Ἀποστόλων: «*Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων*» (Πρ δ΄ 36-37).

Ὁ Βαρνάβας ἦν ὁ ὁδηγήσας τὸν ἄλλοτε φοβερὸν διώκτην τῶν Χριστιανῶν Παῦλον πρὸς τοὺς φοβουμένους Ἀποστόλους καὶ πείσας αὐτούς, ὅπως δεχθῶσιν αὐτόν: «*παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλὴμ ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγε πρὸς τοὺς ἀποστόλους καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ*» (Πρ θ΄ 26-27).

Μαθοῦσα ἡ Ἐκκλησία τῶν Ἱεροσολύμων τὴν ἐπιτυχίαν τῶν Κυπρίων καὶ τῶν Κυρηναίων κατὰ τὴν διδασκαλίαν ἐν Ἀντιοχείᾳ, ἀπέστειλε πρὸς αὐτοὺς τὸν Βαρνάβαν πρὸς ἐνίσχυσιν. Ἐλθὼν ὁ Βαρνάβας, ἀνεζήτησεν εἰς Ταρσὸν τὸν Παῦλον καὶ ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Οἱ δύο Ἀπόστολοι παρέμειναν αὐτόθι ἐπὶ ἔτος, διδάσκοντες. Ἐν Ἀντιοχείᾳ ὠνομάσθησαν τὸ πρῶτον οἱ μαθηταὶ ἐκ τοῦ ὀνόματος τοῦ Χριστοῦ χριστιανοί: «*ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας· ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυ-*

*ρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς»* (Πρ ια΄ 22-25).

Κατὰ τὴν πρώτην ἀποστολικὴν περιοδείαν ὁ Βαρνάβας ἦλθεν εἰς Κύπρον μετὰ τοῦ Παύλου καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Μάρκου: *«ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ ἐπικαλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος καὶ Σαῦλος, λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς, τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες αὐτοῖς τὰς χεῖρας ἀπέλυσαν. Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου κατῆλθον εἰς Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον, καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην. Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον ᾧ ὄνομα Βαριησοῦς, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ»* (Πρ ιγ΄ 1-7).

Ἐκ τῶν μνημονευομένων ἐν Ἀντιοχείᾳ προφητῶν καὶ διδασκάλων ὁ Λούκιος ὁ Κυρηναῖος εἶναι ὁ χειροτονηθεὶς ὑπὸ τοῦ Ἀποστόλου Μάρκου πρῶτος ἐπίσκοπος Κυρήνης.

Οἱ τρεῖς Ἀπόστολοι, ἀναχθέντες ἀπὸ τῆς Πάφου, διεπεραιώθησαν εἰς Μικρὰν Ἀσίαν, ἔνθα ἐν Πέργῃ τῆς Παμφυλίας ὁ Μᾶρκος, ἀποχωρισθείς, ἐπέστρεψεν εἰς Ἱεροσόλυμα. Ὁ

Παῦλος καὶ ὁ Βαρνάβας ἐσυνέχισαν τὴν περιοδείαν αὐτῶν εἰς τὰς πόλεις τῆς Παμφυλίας, τῆς Πισιδίας καὶ τῆς Λυκαονίας καὶ ἐπέστρεψαν εἰς Ἀντιόχειαν.

Ἐν τῷ μεταξὺ προὔκυψε θέμα ἐν τῇ Ἐκκλησίᾳ ἂν οἱ ἐξ ἐθνῶν γινόμενοι χριστιανοὶ ἔπρεπε πρῶτον νὰ δεχθῶσι τὸν μωσαϊκὸν νόμον, ὡς οἱ ἐκ καταγωγῆς Ἑβραῖοι. Ἐγένετο ἀποστολικὴ σύνοδος ἐν Ἱεροσολύμοις, ἐν ᾗ ὁ Ἀπόστολος Παῦλος ἐπέβαλε τὴν θέσιν αὐτοῦ κατὰ τὴν παραγγελίαν τοῦ Κυρίου: *«πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ κτίσει»* (Μκ ιστ´ 15).

Διὰ τῆς θέσεως αὐτοῦ ὁ Ἀπόστολος τῶν Ἐθνῶν Παῦλος διευρύνει τὸν τοπικὸν Ἰσραὴλ τοῦ Θεοῦ, ἐπιδιώκων διὰ τοῦ κηρύγματος τὴν μετατροπὴν πάσης τῆς οἰκουμένης εἰς νέον Ἰσραήλ.

Ἐν τῇ πρεσβείᾳ, ἥτις ἀνήγγειλε τοῖς Ἀντιοχεῦσι μετὰ γραμμάτων τὴν ἀπόφασιν τῆς συνόδου, συμπεριελαμβάνοντο καὶ οἱ Ἀπόστολοι Παῦλος καὶ Βαρνάβας.

Ἐπικειμένης τῆς δευτέρας περιοδείας, οἱ Ἀπόστολοι διαφωνοῦσι καὶ ἀποχωρίζονται. Ὁ μὲν Βαρνάβας ἤθελεν, ὅπως συμπεριληφθῇ ἐν τῇ περιοδείᾳ καὶ ὁ Μᾶρκος, ὁ δὲ Παῦλος ἠρνεῖτο διὰ τὴν στάσιν αὐτοῦ ἐν Πέργῃ τῆς Παμφυλίας. Ὁ μὲν Παῦλος ἤρξατο τῆς δευτέρας περιοδείας εἰς Μικρὰν Ἀσίαν καὶ Ἑλλάδα, οἱ δὲ συνεργάται ἐξάδελφοι Βαρνάβας καὶ Μᾶρκος ἐξέπλευσαν εἰς Κύπρον: *«μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι. Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάννην τὸν ἐπικαλούμενον Μᾶρκον· Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. Ἐγέ-*

*νετο δὲ παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τὸν δὲ Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς Κύπρον»* (Πρ ιε´ 36-39).

Ὁ Ἀπόστολος Βαρνάβας ὑπῆρξεν ὁ ἱδρυτὴς τῆς Ἐκκλησίας τῆς Κύπρου καὶ ὁ πρῶτος ἐπίσκοπος αὐτῆς ἐν Σαλαμῖνι. Ἐδέχθη τὸ μαρτυρικὸν τέλος διὰ λιθοβολισμοῦ ὑπὸ Ἑβραίων τῆς πόλεως.

Κύπριοι καὶ Κυρηναῖοι οἱ δύο ἀνεψιοί, ἵδρυσαν τὰς ἐκκλησίας τῶν πατρίδων αὐτῶν, ὁ μὲν Βαρνάβας τῆς Κύπρου, ὁ δὲ Μᾶρκος τῆς λαμπρᾶς Ἀλεξανδρείας, προοικονομήσας τὴν ἵδρυσιν τῆς Ἐκκλησίας τῆς πατρίδος αὐτοῦ Κυρήνης.

Ἐν τῇ χορείᾳ τῶν Ἁγίων τῆς πρώτης ἐν Ἱεροσολύμοις Κυρήνης, καθὰ ἐλέχθη, συμπεριλαμβάνονται καὶ ὁ Σίμων ὁ Κυρηναῖος, ὁ ἀράμενος τὸν σταυρὸν τοῦ Κυρίου, ἀναβαίνοντος εἰς Γολγοθᾶν, καὶ οἱ υἱοὶ αὐτοῦ Ἀλέξανδρος καὶ Ῥοῦφος. Ὁ Εὐαγγελιστὴς Μᾶρκος ἀναφέρει τὴν ἄρσιν τοῦ σταυροῦ ὑπὸ τοῦ Σίμωνος τοῦ Κυρηναίου, ὡς ἀκολούθως: *«καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ»* (Μκ ιε´ 21).

Ὁ Εὐαγγελιστὴς Μᾶρκος παραδίδει, μόνον οὗτος, τοὺς υἱοὺς τοῦ Σίμωνος τοῦ Κυρηναίου δι᾽ ἰδιαίτερον λόγον. Ἦσαν οὗτοι Κυρηναῖοι, ὡς καὶ ὁ Εὐαγγελιστὴς ἐκ μητρός, καὶ χριστιανοί, ἐνεργὰ μέλη τοῦ κύκλου τῶν Ἀποστόλων. Θέλει νὰ παραδώσῃ τούτους τῇ μνήμῃ τῆς Ἐκκλησίας.

Οἱ Ῥωμαῖοι στρατιῶται, ἄγοντες τὸν Χριστὸν πρὸς σταύρωσιν, δὲν ἠγγάρευσαν τυχαίως τὸν Σίμωνα τὸν Κυρηναῖον, ὅπως ἄρῃ τὸν σταυρὸν Αὐτοῦ. Ὁ ἀγόμενος πρὸς σταύρωσιν ἦν ὑπέγγυος, ὅπως ἄρῃ τὸν ἴδιον σταυρόν. Ἐν ἀδυναμίᾳ τούτου τὸ ὑπέγγυον μετεβιβάζετο εἰς πρόσωπον συγγενές. Οἱ Ῥωμαῖοι

www.tezaurliturgic.ro

στρατιῶται καὶ οἱ σὺν αὐτοῖς, μὴ εὑρόντες ἄλλον ὑπέγγυον, ἠγγάρευσαν τὸν Σίμωνα τὸν Κυρηναῖον, ὡς γνωστὸν ἐν τῷ κύκλῳ τοῦ Χριστοῦ.

Κατὰ τὴν παράδοσιν ὁ Σίμων ὁ Κυρηναῖος ἠκολούθησε τοῖς Ἀποστόλοις εἰς Ἀντιόχειαν, ἔνθα κατέφυγον οἱ χριστιανοὶ μετὰ τὴν σταύρωσιν τοῦ Κυρίου καὶ τὸν ἐπακολουθήσαντα διωγμὸν αὐτῶν, συμμετασχὼν τῷ ἀποστολικῷ ἔργῳ. Οἱ υἱοὶ αὐτοῦ ἐπορεύθησαν μετὰ τοῦ Ἀποστόλου Πέτρου εἰς Ῥώμην, συναντηθέντες ἐκεῖ καὶ πρὸς τὸν Ἀπόστολον Παῦλον. Κατά τινα παράδοσιν ὁ Ἀλέξανδρος ἐμαρτύρησεν ἐν Καρθαγένῃ καὶ ὁ Ῥοῦφος διετέλεσε, πιθανῶς, ἐπίσκοπος τῆς ἐνεγκαμένης τὸν πατέρα αὐτοῦ Κυρήνης.

Ὁ ἀναφερόμενος ὑπὸ τοῦ Ἀποστόλου Παύλου ἐν τῇ Πρὸς Ῥωμαίους ἐπιστολῇ αὐτοῦ Ῥοῦφος ὑποτοπάζεται ὅτι ἦν ὁ υἱὸς τοῦ Σίμωνος τοῦ Κυρηναίου, συμμετέχων τοῦ ἔργου τῶν Ἀποστόλων: «*ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ*» (Ῥω ιστ´ 13).

Πόσον ὑπόχρεως ἦν ὁ Ἀπόστολος Παῦλος πρὸς τὴν ἁγίαν οἰκογένειαν τοῦ Σίμωνος τοῦ Κυρηναίου, ὥστε νὰ ἐπιστέλλῃ αὐτῇ τοσοῦτον θερμοὺς ἀσπασμούς! Πόσην διακονίαν προσήνεγκε καὶ πόσην ἁγιότητα εἶχεν ἡ ἁγία μήτηρ, ὥστε οὗτος νὰ ἀποκαλῇ αὐτὴν καὶ ἑαυτοῦ μητέρα, ὁ ὑπηρετῶν μόνῃ τῇ ἀληθείᾳ καὶ οὐδέποτε χρώμενος φιλοφρονήσεσι!

Ὁ Ἀριστόβουλος συγκαταλέγεται ἐν τῇ χορείᾳ τῶν ἑβδομήκοντα Ἀποστόλων. Κατὰ τὰ ἑλληνικὰ μηνολόγια οὗτος ἦν ἀδελφὸς τοῦ Ἀποστόλου Βαρνάβα, κηρύξας τὸ Εὐαγγέλιον ἐν Βρεταννίᾳ. Κατὰ ταῦτα ὁ ἱδρυτὴς τῆς Ἐκκλησίας τῆς Βρεταννίας εἶναι Κυρηναῖος πρὸς μητρός, ὡς καὶ ὁ Βαρνάβας. Πρὸς πιστοὺς οἰκείους αὐτοῦ ἀποστέλλει ἀσπασμοὺς ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ αὐτοῦ: «*ἀσπά-*

*σασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου»* (Ῥω ιστ´ 10).

Μαρτυρεῖται ὅτι καὶ ὁ ὁμοίως ἐκ τῆς χορείας τῶν ἑβδομήκοντα Ἀποστόλων Ὀνησίφορος κατάγεται ἐκ Κυρήνης. Μαθὼν οὗτος ὅτι ὁ Ἀπόστολος Παῦλος εὑρίσκετο ἐν ἁλύσεσιν, ἦλθεν εἰς Ῥώμην καί, ζητήσας, εὗρεν αὐτὸν ἐν τῇ εἱρκτῇ. Ἔμεινε παρ᾽ αὐτῷ, ἀναψύχων αὐτόν. Ὁ Ἀπόστολος Παῦλος εὐγνωμονεῖ αὐτὸν διὰ τὴν πρᾶξιν αὐτοῦ, ὡς γνήσιον φίλον, καὶ εὔχεται αὐτῷ, ὅπως εὕρῃ ἔλεος παρὰ Κυρίου κατὰ τὴν δευτέραν παρουσίαν Αὐτοῦ. Ἐκ τῆς εὐχῆς τοῦ Ἀποστόλου Παύλου τεκμαίρεται ὅτι ὁ Ἀπόστολος Ὀνησιφόρος ἔλαβεν ἤδη τὸ μαρτύριον κατὰ τὸν διωγμὸν τοῦ Νέρωνος, πιθανῶς περὶ τὸ ἔτος 65. Οὗτος ἐμαρτύρησε μετά τινος Πορφυρίου: *«δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε· δῴη αὐτῷ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις»* (2Τιμ α´ 16-18).

Πρὸς τὸν ηὐλογημένον οἶκον Ὀνησιφόρου ὁ Ἀπόστολος Παῦλος στέλλει ἀσπασμόν: *«Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον»* (2Τιμ δ´ 19).

Μετὰ τὴν μετεγκατάστασιν ὑπὸ τοῦ Ἀποστόλου Μάρκου τῆς πρώτης ἐν Ἱεροσολύμοις Κυρήνης ἐν τῇ ἑστίᾳ αὐτῆς ἔλαμψε καὶ ἐν τῇ Ἐπισκοπῇ Κυρήνης χορεία Ἁγίων, γνωστῶν καὶ ἀγνώστων.

Κατὰ τοὺς διωγμοὺς τῶν Χριστιανῶν ὑπὸ σκληροτραχήλων Ῥωμαίων αὐτοκρατόρων ἐσφαγιάσθησαν ὡς πλεῖστοι ἐν Κυρήνῃ, ἁγιασθέντες μαρτυρίῳ αἵματος, γνωστοὶ καὶ ἄγνωστοι τοῖς ἀνθρώποις, ἀλλὰ γνωστοὶ πάντες τῷ ἀμείπτορι δικαιοκρίτῃ Θεῷ.

Ἐπίσκοποι Κυρήνης συμμετέσχον εἰς οἰκουμενικὰς συνόδους, ὀρθοτομοῦντες τὸν λόγον τῆς ἀληθείας. Ὁ ἐπίσκοπος Κυρήνης Ῥοῦφος ὑπέγραψε τὰ πρακτικὰ τῆς πρώτης ἐν Νικαίᾳ Οἰκουμενικῆς Συνόδου.

Προεξάρχουσα μορφὴ τῶν Ἁγίων τῆς ἐγκαλισθείσης ἐκ τῆς πρώτης ἐν τῇ δευτέρᾳ καλιᾷ αὐτῆς Ἐπισκοπῆς Κυρήνης, τῶν τε γνωστῶν καὶ ἀγνώστων, τυγχάνει ὁ ἐπίσκοπος αὐτῆς Ἅγιος Ἱερομάρτυς Θεόδωρος, οὗ ὁ βίος ἐν συνόψει τρέχει οὕτως: Τῇ τετάρτῃ Ἰουλίου μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου, ἐπισκόπου Κυρήνης, τοῦ θαυματουργοῦ.

Ὁ Ἅγιος Θεόδωρος οὗτος ἐχρημάτισεν ἐπίσκοπος Κυρήνης, κλητὸς Χριστοῦ. Διεκρίθη ἐπὶ ἐναύλῳ διδαχῇ τοῦ λόγου τοῦ Θεοῦ, χρυσοῤῥήμων ὤν, καὶ ἀντιγραφῇ ἱερῶν βιβλίων, δωρουμένων ταῖς ἐκκλησίαις, καλλιγράφος ὤν. Κατὰ τὸν ἐπὶ αὐτοκράτορος Διοκλητιανοῦ δριμὺν διωγμὸν τῶν χριστιανῶν ὡδηγήθη ὑπὸ τοῦ διοικητοῦ τῆς Κυρήνης Διγνιανοῦ εἰς κριτήριον. Ἠκολούθουν αὐτῷ αἱ βαπτισθεῖσαι ὑπ᾿ αὐτοῦ μαθήτριαι Κυπρίλλα, χήρα, ἣν ὁ Ἅγιος ἐθεράπευσεν ἐκ δεινῆς κεφαλαλγίας, Ἀρόα καὶ Λουκία καὶ πλῆθος λαοῦ.

Καλούμενος ὁ Ἅγιος, ὅπως τιμήσῃ τὰ εἴδωλα, καθύβρισε καὶ ἐσύλησε ταῦτα. Ὀργίλος γενόμενος ὁ ἄνομος κριτὴς ἐπὶ τῇ στεῤῥᾷ πίστει τοῦ Ἁγίου, διέταξεν, ὅπως οὗτος παταχθῇ σεσιδηρωμένοις βουνεύροις, προσηλωθῇ ἐπὶ ξύλου, ὡς ὁ Κύριος ἡμῶν, καὶ ἀφαιρεθῇ τὸν δερματικὸν χιτῶνα τοῦ σώματος. Καὶ ἐν τῇ δεινῇ ταύτῃ θέσει πάνυ ἤρεμος, ὡς οὐδὲν πάσχων, ὁ Ἅγιος ἐδίδασκε καὶ ηὐλόγει. Δυσανασχετοῦντες ἐπὶ τῇ διδασκαλίᾳ τοῦ Ἁγίου, οἱ ἀπηνεῖς βασανισταί, καταβιβάσαντες ἀπὸ τοῦ σταυροῦ, ἀπέκοψαν τὴν γλῶσσαν αὐτοῦ καὶ ἔῤῥιψαν κατὰ γῆς. Μετὰ ταῦτα, φοβούμενοι στάσιν τοῦ λαοῦ, ἔσυρον τὸν Ἅγιον εἰς τὴν φυλακήν.

Πορευομένου τοῦ Ἁγίου εἰς τὴν φυλακήν, αἴφνης ἐφάνη μία περιστερά, περιιπταμένη καὶ δορυφοροῦσα αὐτῷ. Αἱ μαθήτριαι αὐτοῦ περισυνέλεξαν τὴν ἀποκοπεῖσαν γλῶσσαν τοῦ Ἁγίου καὶ ἤνεγκον πρὸς αὐτόν, ὅστις ἔθηκε ταύτην ἐπὶ τοῦ στήθους αὐτοῦ.

Ἐγκλεισθέντος τοῦ Ἁγίου ἐν τῇ φυλακῇ, ἐφάνη ταῶς, ὅστις ἐκαθέζετο ἐπὶ τοῦ παραθύρου. Ἅμα ἀποπτὰς ὁ ταῶς εἰς τὰ ἀναπεπταμένα τοῦ οὐρανοῦ, ὁ Ἅγιος ἰάθη, ἀποκατασταθείσης καὶ τῆς γλώσσης αὐτοῦ. Γονυπετὴς γενόμενος καὶ ὑψῶν χεῖρας, ἐδίδασκε καὶ ηὐλόγει τοὺς παρευρισκομένους. Ἐν τῇ στάσει ταύτῃ παρέδωκε τὴν ἁγίαν ψυχὴν αὐτοῦ τῷ Χριστῷ.

Γαυριῶντος τοῦ διωγμοῦ τῶν χριστιανῶν ἔλαβον τὸ μαρτύριον καὶ αἱ τρεῖς μαθήτριαι τοῦ Ἁγίου Κυπρίλλα, Ἀρόα καὶ Λουκία καὶ πλῆθος λαοῦ. Οἱ ἐναγεῖς βασανισταί, ἀκινητοποιήσαντες τὰς χεῖρας τῆς Ἁγίας Κυπρίλλας, ἐποίησαν τὰς παλάμας αὐτῆς βωμὸν δῆθεν εἰδώλων, ἐν ᾧ προσήνεγκον πυρίκαυστον θυσίαν. Μετὰ τὴν μαρτυρικὴν τελείωσιν τῆς Ἁγίας αἱ Ἁγίαι Ἀρόα καὶ Λουκία ἐκήδευσαν τὸ σῶμα αὐτῆς. Ἐκ τοῦ τάφου τῆς Ἁγίας ἀνεδύετο δρόσος, ὀσμὴ εὐωδίας πνευματικῆς, ἰωμένη τοὺς προσερχομένους.

Αἱ πηγαὶ μνημονεύουσι καὶ ἑτέρου Ἁγίου Ἱερομάρτυρος ἐπισκόπου Θεοδώρου, συμμαρτυρήσαντος κατὰ τὸν διωγμὸν τοῦ Διοκλητιανοῦ. Οὗτος ἦν χωρεπίσκοπος, βοηθὸς τοῦ προεξάρχοντος ἐπισκόπου Κυρήνης Θεοδώρου. Σὺν τῷ Ἁγίῳ τούτῳ ἐμαρτύρησαν, ἀποτμηθέντες καὶ τὴν γλῶσσαν, οἱ βοηθοὶ αὐτοῦ, ὅ τε διάκονος Εἰρηναῖος καὶ οἱ ἀναγνῶσται Σεραπίων καὶ Ἀμμώνιος.

Ἐν τῷ βίῳ καὶ τῷ μαρτυρίῳ τῶν Ἁγίων πολλά εἰσι τὰ σημαίνοντα τὴν παρουσίαν τοῦ Θεοῦ.

Αὐτὸ τὸ μαρτύριον τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου, ἐπι-

σκόπου Κυρήνης, τὴν συνάλισιν ἐν τῷ καινῷ δείπνῳ τοῦ Χριστοῦ καὶ τὴν ἐν τῷ παραδείσῳ ἀπόλαυσιν τῶν ἐπηγγελμένων ἀγαθῶν σημαίνει. Προγευόμενος ὁ Ἅγιος τὰ εὐφρόσυνα τῆς αἰωνιότητος τοῦ Χριστοῦ, εἰς οὐδὲν λογίζεται τὰς πρός τι χρόνου ὀδύνας.

Ἡ περιστερά, ἡ δορυφορήσασα τῷ Ἁγίῳ, τὴν ἐπισκιάσασαν τοὺς μαθητὰς νεφέλην κατὰ τὴν μεταμόρφωσιν τοῦ Χριστοῦ σημαίνει.

Ὁ ταῶς, σύμβολον τοῦ παραδείσου ἐν τῇ εἰκονογραφίᾳ, καθεζόμενος ἐν τῷ παραθύρῳ τῆς φυλακῆς καὶ ἀποπτὰς εἰς τὰ ἀναπεπταμένα τοῦ οὐρανοῦ, τὴν μετάβασιν τοῦ Ἁγίου εἰς τὴν ὑπερουράνιον ἐλευθερίαν τοῦ Χριστοῦ σημαίνει.

Τὸ πάγχρυσον τοῦ Ἁγίου στόμα, τὸ ἀναιδῶν φρυάγματα φιμῶσαν, τοῦ Παναγίου Πνεύματος τὴν μάχαιραν σημαίνει.

Τὸ ἀκάματον τοῦ Ἁγίου σῶμα, τὸ παρὰ τὸ προβεβηκὸς τῆς ἡλικίας αὐτοῦ -ἦν γὰρ ὑπερογδοηκοντούτης- ἀνθεξάμενον τὴν ἔκτασιν ἐν τῷ σταυρῷ καὶ τὰ μαρτύρια, τὸ πανσθενὲς τοῦ Θεοῦ καὶ τὴν ἀδιάπτωτον ἐν αὐτῷ τῷ Ἁγίῳ αἰωνίαν νεότητα σημαίνει.

Ἡ τριὰς τῶν μαρτύρων μαθητριῶν τοῦ Ἁγίου, τὰς τρεῖς ἡμέρας τοῦ Χριστοῦ σημαίνει.

Ἐπιφανὴς συγκλητικὸς τῆς Κυρήνης, ὁ Λούκιος, ἰδὼν τὸ μαρτύριον τοῦ Ἁγίου καὶ τὰ περὶ αὐτὸν θαύματα, ἐπίστευσεν εἰς τὸν Χριστὸν καὶ ἐζήτησεν, ὅπως λάβῃ τὸ Ἅγιον Βάπτισμα. Ὁ Ἅγιος ἐκατήχησε καὶ ἐβάπτισε τοῦτον.

Βαπτισθεὶς ὁ Λούκιος καὶ εὐλογίας παρὰ τοῦ Ἁγίου πλησθείς, εἵλκυσεν εἰς Χριστὸν καὶ αὐτὸν τὸν ἐντεταλμένον διώκτην Διγνιανόν, ὅνπερ ἀνεδέξατο ἐν τῷ Ἁγίῳ Βαπτίσματι. Ἰδόντες φῶς Ἀναστάσεως οἱ δύο, Λούκιος καὶ Διγνιανός, ἔφυγον ἐκ Κυρήνης διὰ πλοιαρίου, καὶ ἦλθον εἰς Κύπρον. Γαυ-

ριῶντος τοῦ διωγμοῦ τῶν Χριστιανῶν καὶ ἐν Κύπρῳ, ὁ Λούκιος ἀπετμήθη τὴν κεφαλήν, λαβὼν τὸν ἀμάραντον στέφανον τῶν Ἁγίων παρὰ τοῦ ἀμείπτορος δικαιοκρίτου Χριστοῦ. Ὁ συνοδοιπόρος αὐτοῦ Διγνιανὸς μετέσχεν ἁγιότητος, βαπτισθεὶς ὑπὸ τοῦ μάρτυρος καὶ οἷα μάρτυς ἀπαρνηθεὶς τὸ ἀξίωμα αὐτοῦ, διακονήσας τὸν μάρτυρα καὶ κηδεύσας τὸ ἅγιον σκήνωμα αὐτοῦ ἐν τῇ γῇ τῆς Κύπρου.

Καταγομένη ἐκ Κυρήνης, ἀναφέρεται μάρτυς Κυρίλλα, ἢ Σύριλλα, νεᾶνις παρθένος, πρὸς μητρὸς Τρυφωνίας, μαρτυρήσασα δι' ἀποτομῆς τῆς κεφαλῆς κατὰ τὸν διωγμὸν τοῦ Κλαυδίου Β', ἐν Ῥώμῃ.

Ἡ ἐκ Κυρήνης μήτηρ Τρυφωνία ὑπῆρξέ ποτε σύζυγος τοῦ αὐτοκράτορος Δεκίου. Δεχθεῖσα τὸ μαρτύριον ἐτάφη ἐν κρύπτῃ παρὰ τὴν κρύπτην τοῦ Ἁγίου Ἱππολύτου.

Πρὸς τὴν Κυρήνην συνδέεται καὶ ὁ Μεγαλομάρτυς Ἅγιος Γεώργιος ὁ Τροπαιοφόρος διὰ τοῦ πασιγνώστου θαύματος τῆς δρακοντοκτονίας. Κατὰ τὴν Legenda Sanctorum τοῦ ἀρχιεπισκόπου Γενούης Ἰακώβου de Voragine (1230- 1298), ἀνθολογίαν ἐκ παλαιοτέρων πηγῶν, ἡ ἀναίρεσις τοῦ βυθίου δράκοντος ἐγένετο ἐν πηγῇ ἔξωθι τῆς Κυρήνης, ἀσφαλῶς τῆς πηγῆς τοῦ Ἀπόλλωνος, ῥεούσης μέχρι σήμερον. Τὸ θαῦμα τῆς δρακοντοκτονίας ἀρύεται ὁ Ἰάκωβος de Voragine ἐκ πηγῶν τοῦ ἕκτου αἰῶνος.

Κυρήνη καὶ Κύπρος ἔχουσι πολλὰς συναφείας, γεωγραφικάς, ἱστορικὰς καὶ ἁγιολογικάς. Διὰ τῆς ἁγιότητος ἡνώθησαν διὰ παντὸς καὶ τῇ ἐν Χριστῷ Ἰησοῦ ἁγίᾳ ἑνώσει.

Ἡ Κυρήνη καὶ ἡ Κύπρος ὁρίζουσιν ἀκραῖα ἑλληνικὰ σύνορα.Κατά τινα ἐτυμολογίαν τὸ ὄνομα Κυρήνη ἐν Λιβύῃ καὶ τὸ ὄνομα Κερύνεια ἐν Κύπρῳ προέρχονται ἐκ κοινῆς ῥίζης, δηλούσης τὸ κέρας καὶ τὰ συναφῆ. Ἔλαβον τὸ ὄνομα αὐτῶν ἐκ

κέρατος γῆς, οὗ ἐν τῷ χώρῳ κεῖνται. Τὸ κέρας τῆς Κυρήνης προβάλλεται ἐν τῇ Μεσογείῳ θαλάσσῃ, κυρτούμενον ἀπωτέρω μέχρι τῆς Σύρτεως. Τὸ κέρας τῆς Κερυνείας ἐκτείνεται ἠρέμα, ἀναδιπλούμενον μέχρι τοῦ ἀκρωτηρίου Κρομμύου καὶ τοῦ κόλπου τῆς Μόρφου, μυκηναϊκῆς ἀποικίας Ἑλλήνων.

Κατὰ τὸ τελευταῖον τέταρτον τοῦ ἕκτου αἰῶνος π.Χ. ἡ μήτηρ τοῦ ἐκπτώτου βασιλέως τῆς Κυρήνης Ἀρκεσίλα τοῦ Γ′ Φερετίμη ἐπεσκέφθη τὸν βασιλέα τῆς Σαλαμῖνος Εὐέλθοντα, ζητοῦσα μισθοφόρους πρὸς ἀποκατάστασιν ἐν τῷ θρόνῳ τοῦ υἱοῦ αὐτῆς. Ὁ βασιλεὺς Εὐέλθων ἠρνήσατο αὐτῇ. Ὁ τύραννος τῆς Σάμου Πολυκράτης παρέσχε τῷ ἐκπτώτῳ Ἀρκεσίλᾳ Γ′ μισθοφόρους, Σαμίους καὶ Ἴωνας, οἵτινες εἶτα ἀπῳκίσθησαν ἐν Κυρήνῃ.

Σαλαμὶς ἐν Κύπρῳ καὶ Κυρήνη ἐν Λιβύῃ ὑπῆρξαν αἱ δύο αὐτάδελφοι πόλεις, αἱ κατ᾽ ἐξοχὴν ἐρειπιωθεῖσαι κατὰ τὴν ἐπανάστασιν τῶν Ἑβραίων τῷ 115 π.Χ.

Κύπριοι καὶ Κυρηναῖοι ἀναφέρονται συνεργαζόμενοι ἐν τῷ πρώτῳ εὐαγγελισμῷ.

Κυρηναῖος ἅμα καὶ Κύπριος ἦν ὁ εὐαγγελισάμενος τὴν Κύπρον καὶ τὴν Κυρήνην, ὁ μέγας Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ἰωάννης Μᾶρκος. Οὗτος συνώδευσε τοὺς Ἀποστόλους Παῦλον καὶ Βαρνάβαν εἰς Κύπρον κατὰ τὸν εὐαγγελισμὸν αὐτῆς καί, μεταβαίνων ἐκ Ῥώμης, ἔνθα ἐκλήθη ὑπὸ τοῦ Ἀποστόλου Παύλου, ὡς «εὔχρηστος εἰς διακονίαν», εἰς Ἀλεξάνδρειαν, ἐπεδήμησεν ἐν Κυρήνῃ, ἔνθα ἵδρυσε τὴν Ἐκκλησίαν αὐτῆς, τὴν πρώτην ἐν τῇ ἀφρικανικῇ ἠπείρῳ, χειροτονήσας τὸν Ἀπόστολον Λούκιον, ἐκ τοῦ κύκλου τῶν μαθητῶν καὶ συνεργατῶν τῶν Ἀποστόλων, πρῶτον Ἐπίσκοπον αὐτῆς, διὸ καὶ ἀποστολικὴ καλεῖται ἡ Ἐκκλησία Κυρήνης παρὰ τοῖς παλαιοῖς.

Ἐκ Κυρήνης ὁ συγκλητικὸς Λούκιος καὶ ὁ Διγνιανὸς μετὰ τὴν ὁμολογίαν αὐτῶν ἦλθον εἰς Κύπρον.

Ἐν τῇ εἰρημένῃ συναφείᾳ, πυμάτην, ἔα προσθεῖναι καὶ τὴν ἀνεξιχνιάστῳ βουλῇ τοῦ Κυρίου κλῆσίν μου, Κυπρίου ἐξ ἱμερτῆς Μόρφου, εἰς Μητροπολίτην Κυρήνης.

Ἡ Κυρήνη ὑπῆρξε «προεικόνισις» τῆς Ἐκκλησίας τοῦ Χριστοῦ.

Ἦν ἐν Ἱεροσολύμοις οἰκία Μαρίας, μητρὸς Μάρκου, Κυρηναίας, περίοπτος, μετ᾽ ἀνωγαίου. Ταύτην ἐπέλεξεν ὁ Χριστὸς ὡς εἰκόνα τῆς Ἁγίας Ἐκκλησίας Αὐτοῦ, πρωτόκλητον Κυρήνην ἐν Ἱεροσολύμοις. Ἐν τῇ οἰκίᾳ Μαρίας ὁ Χριστός, ὡς Ἀρχιερεὺς θύτης καὶ ὡς ἀμνὸς θυόμενος, παρέδωσε τοῖς ἁγίοις Αὐτοῦ μαθηταῖς καὶ Ἀποστόλοις τὸ μυστήριον τοῦ τιμίου Σώματος καὶ τοῦ πολυτιμήτου Αἵματος Αὐτοῦ.

Ἐν τῇ οἰκίᾳ τῆς Μαρίας:

Κατέφυγον οἱ κατεπτοημένοι μαθηταὶ μετὰ τὴν σταύρωσιν τοῦ Κυρίου αὐτῶν.

Ἤκουσαν οἱ μαθηταὶ τὸ χαρμόσυνον ἄγγελμα τῆς Ἀναστάσεως.

Ἐνεφανίσθη ὁ ἀναστὰς Χριστὸς τοῖς μαθηταῖς καὶ ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν Αὐτοῦ.

Ἐνεφανίσθη καὶ πάλιν μεθ᾽ ἡμέρας ὀκτὼ τῷ ἀπιστήσαντι Θωμᾷ: «*Εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός*» (Ἰω κ΄ 27).

Ἐπέστρεψαν οἱ μαθηταὶ μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, ἔνθα κατέμενον μετὰ τῆς Παναγίας, τῶν νομιζομένων ἀδελφῶν τοῦ Κυρίου, τῆς οἰκοδεσποίνης καὶ παντὸς τοῦ οἴκου. «*Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ*

*Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου. Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ»* (Πρ α΄ 13-14).

Ἐτελέσθη κατὰ τὴν Πεντηκοστὴν ἡ ἐπιφοίτησις τοῦ Ἁγίου Πνεύματος. Αἱ θύραι τοῦ οἴκου ἠνοίχθησαν καὶ ἐξῆλθον οἱ προσκαρτεροῦντες Ἀπόστολοι. Ὁ Πέτρος ὡμίλησε πρὸς τὸ συναχθὲν πλῆθος, καὶ ἐβαπτίσθησαν ἐκείνην τὴν ἡμέραν περὶ τὰς τρεῖς χιλιάδας, ἀποτελέσαντες τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ: *«οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι»* (Πρ β΄ 41).

Κατέφυγεν ὁ Πέτρος μετὰ τὴν διὰ θαύματος ἀποφυλάκισιν αὐτοῦ: *«συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. Κρούσαντος δὲ αὐτοῦ τὴν θύραν τοῦ πυλῶνος προσῆλθε παιδίσκη ὑπακοῦσαι ὀνόματι Ῥόδη, καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. Οἱ δὲ πρὸς αὐτὴν εἶπον· μαίνῃ. ἡ δὲ διισχυρίζετο οὕτως ἔχει. Οἱ δὲ ἔλεγον· ὁ ἄγγελος αὐτοῦ ἐστιν. Ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν καὶ ἐξέστησαν»* (Πρ ιβ΄ 12-16).

Ὁ υἱὸς τῆς Μαρίας Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος μετέφερε τὴν πρώτην ἐν Ἱεροσολύμοις Κυρήνην ἐκ τῆς οἰκίας αὐτοῦ εἰς τὴν ἐν Ἀφρικῇ ἱστορικὴν Κυρήνην, ἐκ μητρὸς πατρίδα αὐτοῦ, καθιδρύσας τὴν Ἐκκλησίαν αὐτῆς.

Πᾶσα ἡ χορεία τῶν Ἁγίων τῆς Ἐκκλησίας τῆς Κυρήνης, πρώτης τε καὶ δευτέρας, Κυρηναίων τε καὶ προσγραφέντων

ἀγχιστείᾳ ἡ ἐπιδημίᾳ[3], ὁ ἱδρυτὴς Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος, ἡ μήτηρ αὐτοῦ Μαρία, ὁ ἀνεψιὸς αὐτοῦ Ἀπόστολος Βαρνάβας, καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀπόστολος Ἀριστόβουλος, ἡ ἀποστολικὴ παιδίσκη ἐν τῇ οἰκίᾳ Μαρίας Ῥόδη, ὁ Ἀπόστολος Σίμων, ὁ ἀράμενος τὸν σταυρὸν τοῦ Κυρίου καὶ ἡ σύζυγος αὐτοῦ, ἧς τὸ ὄνομα οἶδε Κύριος, οἱ υἱοὶ αὐτῶν Ἀπόστολος Ἀλέξανδρος καὶ Ἀπόστολος Ῥοῦφος, ὁ Ἀπόστολος Ὀνησιφόρος, αἱ μαθήτριαι τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου Κυπρίλλα, Ἀρόα καὶ Λουκία, ὁ μάρτυς Ἅγιος Λούκιος καὶ ὁ συνοδοιπόρος αὐτοῦ Ὁμολογητὴς Ἅγιος Διγνιανός, ὁ διάκονος τοῦ βοηθοῦ ἐπισκόπου Ἁγίου Ἱερομάρτυρος Θεοδώρου Εἰρηναῖος καὶ οἱ ἀναγνῶσται αὐτοῦ Σεραπίων καὶ Ἀμμώνιος, ἡ Ἁγία Τρυφωνία, ἡ θυγάτηρ αὐτῆς παρθενομάρτυς Κυρίλλα, οἱ Πατέρες, οἱ Ὅσιοι καὶ τὸ νέφος τῶν Μαρτύρων, σὺν τούτοις καὶ ὁ ἐπι-

---

3. Οἱ ἀναφερόμενοι Ἅγιοι συναξαριογραφοῦνται, ὡς ἀκολούθως: Ἀλέξανδρος, Ἀπόστολος, υἱὸς Σίμωνος Κυρηναίου, 28 Φεβρουαρίου. Ἀμμώνιος, μάρτυς, ἀναγνώστης, 26 Μαρτίου. Ἀριστόβουλος, Ἀπόστολος, 31 Ὀκτωβρίου. Ἀρόα, μάρτυς, 5 Ἰουλίου. Βαρνάβας, Ἀπόστολος, 11 Ἰουνίου. Γεώργιος, Τροπαιοφόρος, Μεγαλομάρτυς, 23 Ἀπριλίου καὶ 3 Νοεμβρίου. Διγνιανός, Ὁμολογητής, 20 Αὐγούστου. Εἰρηναῖος, μάρτυς, διάκονος, 26 Μαρτίου. Θεόδωρος, ἐπίσκοπος, προεξάρχων, 4 Ἰουλίου. Θεόδωρος, βοηθὸς ἐπίσκοπος, μάρτυς, 26 Μαρτίου. Κυπρίλλα, μάρτυς, 5 Ἰουλίου. Κύριλλα, παρθενομάρτυς, 28 Ὀκτωβρίου. Λουκία, μάρτυς, 5 Ἰουλίου. Λούκιος, Ἀπόστολος ἐκ τῶν ἑβδομήκοντα. Λούκιος, μάρτυς, 20 Αὐγούστου. Μαρία, μήτηρ Ἀποστόλου Μάρκου. Μᾶρκος, Ἀπόστολος, Εὐαγγελιστής, 25 Μαρτίου. Ὀνησιφόρος, Ἀπόστολος ἐκ τῶν ἑβδομήκοντα, 7 Σεπτεμβρίου. Ῥόδη, παιδίσκη ἀποστολικὴ γυνή, 15 Ἰανουαρίου. Ῥοῦφος, Ἀπόστολος, υἱὸς Σίμωνος Κυρηναίου, 28 Φεβρουαρίου. Ῥοῦφος, ἐπίσκοπος ἐν τῇ Συνόδῳ Νικαίας, Κυριακὴ τῶν Θεοφόρων Πατέρων τῆς Α´ Οἰκουμενικῆς Συνόδου. Σεραπίων, μάρτυς, ἀναγνώστης, 26 Μαρτίου. Σίμων Κυρηναῖος, Ἀπόστολος, 27 Φεβρουαρίου. Σύζυγος Σίμωνος Κυρηναίου, Ἀποστολικὴ γυνή, 28 Φεβρουαρίου. Τρυφωνία, μάρτυς, 18 Ὀκτωβρίου.

σκέπτης Τροπαιοφόρος Ἅγιος Γεώργιος, οἱ μακαρίᾳ τῇ λήξει γενόμενοι ἀοίδιμοι προκάτοχοι ἡμῶν ἐπίσκοποι Κυρήνης, Ἀπόστολος Λούκιος, Ἀπόστολος Ῥοῦφος, υἱὸς Σίμωνος Κυρηναίου, προεξάρχων Ἅγιος Ἱερομάρτυς Θεόδωρος, Ῥοῦφος, μετασχὼν τῆς ἐν Νικαίᾳ Συνόδου, Φίλων, ἕτερος Φίλων, Ῥοῦφος, Συνέσιος, Ζώπυρος, Ζηνόβιος, Λεόντιος, Ἰωάσαφ, Παρθένιος, Σπυρίδων καὶ ὅσοι ἄγνωστοι, οὓς οἶδε Κύριος, τελετουργοῦντες ἐν τῇ ἄνω Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ὑψοῦσι χεῖρας πρὸς Κύριον, δεόμενοι ὑπὲρ τῆς Ἐκκλησίας τῆς Κυρήνης.

*Ἔγραφον ἐν τῷ ἐν Μόσχᾳ Ἀλεξανδρινῷ Πατριαρχικῷ*
*Μετοχίῳ τῇ 27η Φεβρουαρίου τοῦ ἔτους 2013,*
*μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Σίμωνος τοῦ Κυρηναίου,*
*τοῦ ἀραμένου τὸν σταυρὸν τοῦ Κυρίου*

τοῖς ἐντευξομένοις
διάπυρος πρὸς Κύριον εὐχέτης



† Ὁ Κυρήνης Ἀθανάσιος

www.tezaurliturgic.ro



## Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Καλλιγράφον Κυρήνης Ἱερομάρτυρα,
τὸν ἑαυτὸν δῶρον θεῖον
προσενεγκόντα Χριστῷ
δι᾽ ἀρίστης ἐναθλήσεως τιμήσωμεν
ὥσπερ ἀλείπτην ἀπλανῆ
πρὸς μαρτύριον πολλῶν
τὴν πίστιν ἀσπασαμένων
θερμῶς βοῶντες· Λιταῖς σου
ἡμᾶς ἰσχύος θείας ἔμπλησον.

## Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Σεπτὸν Κυρήνης Ἱεράρχην, τὸν κοσμήσαντα
ποιμαντορίαν τὴν αὐτοῦ αἱμάτων ῥεύμασιν,
ὡς σταδίου ἀριστέα καὶ ὀλετῆρα
τῶν σεβόντων, φεῦ, τὰ εἴδωλα, τιμήσωμεν
κολασμοὺς τὸν ἀνυποίστους ὑπομείναντα
ὕμνοις κράζοντες· Χαίροις, μάκαρ Θεόδωρε.

## Μεγαλυνάριον.

Χαίροις, καλλιγράφε πανευπρεπὲς
καὶ σεπτὲ Κυρήνης
ἀρχιθῦτα, μαρτυρικῶς
βίον ὁ τελέσας,
Θεόδωρε, καὶ Κτίστῃ
ὁ σεαυτὸν κομίσας
δῶρον ὡς πάντιμον.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΘΕΟΔΩΡΟΥ
# ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ

Ἑορταζομένου τῇ Δ΄ Ἰουλίου





www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Ἐν φυλακῇ τὸν θανόντα
μετὰ τὴν ἄθλησιν
αὐτοῦ τὴν στεῤῥοτάτην,
ἱερόαθλον πάνυ,
τιμήσωμεν ἐν ὕμνοις χρεωστικῶς,
στεφανίτην Θεόδωρον,
τῆς ἐν Λιβύῃ Κυρήνης θεοειδῆ
καὶ καλλίνικον Ἐπίσκοπον.

Κυρήνης βλάστημα θεῖον
καὶ θεοπρόβλητον
ποιμένα εὐσχημόνως
εὐφημήσωμεν πάντες,

Θεόδωρον, ἀθλήσει περιφανεῖ
πολιτείαν τελέσαντα
τὴν ἐπὶ γῆς σὺν τριάδι ἀθλητριῶν
μεγαλυνασῶν τὸν Κύριον.

Τὸν καλλιγράφον, Κυρήνης
σεπτὸν Ἐπίσκοπον,
οὗ τρίβοις μαρτυρίου
ἠκολούθησαν πίστει
Ἀρόα καὶ Κυπρίλλα σὺν τῇ σεμνῇ
τῇ Λουκίᾳ, τιμήσωμεν
ὕμνοις Θεόδωρον πάντες, τὸν βουλευτήν,
θεῖον Λούκιον, βαπτίσαντα.
Διὰ Χριστὸν φραγγελλώσεις
τὸν ὑπομείναντα,
ἀδίκως κρεμασθέντα,
τὸ σαρκίον σχισθέντα,
τὴν γλῶτταν ἐκτμηθέντα καὶ εἰς εἱρκτὴν
τὸν ῥιφέντα, Θεόδωρον,
ἐγκωμιάσωμεν ᾄσμασι μελιχροῖς
Χριστωνύμων τὰ συστήματα.

Δόξα. Ἦχος β΄.

Ἀπεριτρέπτῳ φρονήματι τὸν Χριστὸν ὁμολογήσαντα
καὶ εὐθαρσῶς λακτίσαντα
καὶ κρημνίσαντα τοὺς βωμοὺς τῶν εἰδώλων,
Θεόδωρον, Κυρήνης τὸν ἱεροφάντορα, τιμήσωμεν οὕτω λέγοντες·

Ἐκκλησιαστικῶν βιβλίων καλλιγράφε,
ὁ δι᾽ αὐτῶν εἰς Χριστοῦ τὴν πίστιν πολλοὺς ἑλκύσας
καὶ εἰς μαρτύριον ὁδηγήσας,
ἴθυνον τοὺς τιμῶντας τὴν μνήμην σου
πρὸς ἀρετῆς ὁλοκλήρωσιν
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, ὁ θεαυγὴς
Κυρήνης Ἱεράρχης
ὁδὸν τοῦ μαρτυρίου
προθύμως ὁ ἀνύσας,
περικλεὲς Θεόδωρε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εἵλκυσας πρὸς στεῤῥὰν
ἐνάθλησιν Κυπρίλλαν,
Ἀρόαν καὶ Λουκίαν
σὺν βουλευτῇ Λουκίῳ,
πανευσταλὲς Θεόδωρε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Χαῖρε, ὁ κρεμασθεὶς
καὶ ξέσιν τοῦ σαρκίου

ἀσμένως ὑπομείνας
ἐν τῇ Κυρήνῃ, Μάρτυς
τῆς πίστεως, Θεόδωρε.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεὸς
Κυρήνης Ἐπισκόπου,
ἐνδόξου Θεοδώρου,
Τριὰς ὑπεραγία,
ὑπέρτιμε καὶ ἄχρονε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Χριστιανοὺς
ἡ πάντας ἐλεοῦσα
καὶ σκέπουσα, Παρθένε,
φιλάνθρωπος ὡς ἄγαν
καὶ λίαν εὐσυμπάθητος.

Νῦν ἀπολύεις.....τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ,
εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η´
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς Λιβύης ἐκβλάστημα
καὶ Κυρήνης Ἐπίσκοπε
ἱερέ, Θεόδωρε γενναιότατε,
ὁ καλλιγράφος ὁ ἄριστος
βιβλίων τῆς πίστεως
καὶ Μαρτύρων καλλονή,
ὁ βασάνους ὡς ἄσαρκος
καὶ ῥαβδίσματα
ὥσπερ πάσχοντος ἄλλου ὑπομείνας,
ἐν εἱρκτῇ τὸν σὸν ἀγῶνα
τὸν θαυμαστὸν ἐπεράτωσας.

Τῆς Κυρήνης Ἐπίσκοπε,
ὁ υἱός σου Λεόντιος
ὡς Χριστὸν φιλοῦντα, οἴμοι, διέβαλεν
εἰς τὸν τὰ εἴδωλα σέβοντα,
Θεόδωρε πίστεως,
ἀκρεμών, Διγνιανόν,
σὲ στυγνῶς μαστιγώσαντα
καὶ κρεμάσαντα
ἐπὶ ξύλου, ἐν ᾧ αὐτὸς περόναις
σιδηραῖς τὸ σὸν σαρκίον,
τροπαιοφόρε, κατέξεσεν.

Ἀρχιθῦτα Θεόδωρε,
ἀθλοφόρε στεῤῥόψυχε,
ὁ καλλιγραφήσας βιβλία πίστεως
καὶ διανείμας εἰς ἅπασαν
αὐτά, ἱερώτατε,
σὴν σεπτὴν Ἐπισκοπήν,
τῇ ὁδῷ ἠκολούθησας
τῆς ἀθλήσεως,
εἰς ἣν εἵλκυσας Λούκιον, Κυπρίλλαν
καὶ Ἀρόαν σὺν Λουκίᾳ,
Ἱερομάρτυς πανένδοξε.

Σῆς εἱρκτῆς περιΐπτατο
τοῦ κελλίου, Θεόδωρε,
πέριξ πρὸ τοῦ τέλους τοῦ ἐπιγείου σου
περιστερὰ καὶ ἐκάθητο

ταώς, ἱερόαθλε
καρτερόφρον, ἐν αὐτοῦ
παραθύρῳ, ἃ Λούκιος
θεασάμενος
πετεινά, βουλευτὴς ὁ τῆς Κυρήνης,
εἰς Χριστοῦ εἱλκύσθη πίστιν
τὴν παναγίαν καὶ ἄμωμον.

Τοὺς βωμοὺς τὸν λακτίσαντα
καὶ κρημνίσαντα εἴδωλα
ἄψυχα ἐκθύμως ἐγκωμιάσωμεν
Ἱερομάρτυρα ἔνδοξον,
Κυρήνης, Θεόδωρον,
Ἀρχιθύτην, εὐλαβῶς
ὡς στεῤῥῶς ὑπομείναντα
βιαιότητας,
φραγγελλώσεις, ὡς Κύριος τῆς δόξης,
ἐκκοπὴν αὐτοῦ τῆς γλώττης
καὶ ἐπὶ ξύλου ἀνάρτησιν.

Δεῦτε πάντες φιλέορτοι
τῆς Κυρήνης Θεόδωρον
μέλψωμεν ἐκθύμως ἱεροφάντορα,
βιβλία καλλιγραφήσαντα,
Χριστὸν μεγαλύναντα
πόνοις τοῖς μαρτυρικοῖς
καὶ εἰδώλων αἰσχύναντα
λάτρεις κράζοντες·

Χαῖρε, πάμφωτε πίστεως λυχνία,
χαῖρε, βάθρον εὐψυχίας,
χαῖρε, κρηπὶς γενναιότητος.

Ἐν Ῥωσίᾳ κατέδειξας
ἄρτι δύναμιν χάριτος
τῆς ἐν σοὶ οἰκούσης, σεπτὲ Θεόδωρε,
Ἱερομάρτυς Ἐπίσκοπε
Κυρήνης θεόσδοτε,
τὸν ἐνάντιον καιρὸν
αὐθωρὶ πρὸς εὐχέρειαν
πανηγύρεως
τῆς λαμπρᾶς σου μεταβαλών, τρισμάκαρ,
καὶ αὐτῆς ἐν Λειτουργίᾳ
Θείᾳ κινήσεων ἄνεσιν.

Ἱερόαθλε πάνσεπτε,
τῆς Κυρήνης διάκοσμε,
θαυμαστὲ Θεόδωρε, τὴν εἰκόνα σου
ὁ ἐν τῇ Μόσχᾳ Ἐπίσκοπος,
διάδοχος, Ἅγιε,
σῆς σεπτῆς ἐπισκοπῆς,
ἐν χερσὶ φέρων ἔδραμεν
εἰς τὸν ὕπαιθρον
καὶ κατεῖδεν αὐτὴν ἐν καταιγίδι
θαυμαστῶς στεγνήν, στεῤῥόφρον,
ὡς ἀληθῶς ἀδιάβροχον.

Δόξα. Ἦχος πλ. β΄.

Ἱερομάρτυρος Θεοδώρου, τοῦ τῆς Κυρήνης Ἐπισκόπου,
τὴν ὑπέρλαμπρον μνήμην σήμερον ἑορτάζοντες
μεγαλύνομεν τοὺς ἀθλητικοὺς αὐτοῦ πόνους
πρὸς τοῦ Εὐαγγελίου διάδοσιν καὶ ἐν εὐλαβείᾳ κραυγάζομεν·
Ὁ παῤῥησίᾳ κρημνίσας τὰ εἴδωλα
καὶ τρόπαιον ἐγείρας εὐσεβείας,
μὴ παύσῃ ἡμῖν δωρούμενος Θεοῦ τὰ ἐλέη πρεσβείαις σου
τοῖς συναχθεῖσι τιμῆσαι τὰ σὰ κατορθώματα.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μγ΄ 9-14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν, ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς

ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15-στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν

τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα.

### Ἦχος α΄.

Εὐφραίνεσθε ἐν Κυρίῳ, Κυρηναίων οἱ δῆμοι,
καὶ ἀγάλλεσθε, αἱ τῶν Χριστωνύμων χορεῖαι,
ὅτι μεσίτην κέκτησθε πρὸς Κύριον
Θεόδωρον, τὸν γενναιότατον καὶ πολύπαθον Ἱερομάρτυρα·
οὗτος γὰρ ἑαυτὸν ἀναλώσας τῇ ὑπηρεσίᾳ τῆς Ἐκκλησίας
μαρτυρικοῖς κατεστέφθη στεφάνοις·

διὸ νῦν Χριστῷ συμβασιλεύων
ἀδιαλείπτως Αὐτῷ πρεσβεύει
ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Θεόδωρον, τὸν τῆς Κυρήνης Ἐπίσκοπον,
πανευλαβῶς ἐγκωμιάσωμεν
καὶ Λούκιον, τὸν βουλευτήν, ὑπ᾽ αὐτοῦ βαπτισθέντα,
σὺν ταῖς τρισὶ γυναιξί, Ἀρόᾳ, Λουκίᾳ καὶ Κυπρίλλᾳ,
μεθ᾽ ὧν ὡς Μάρτυρες Χριστοῦ ἐν πόλῳ ἐπαγάλλονται
οὕτω λέγοντες·
Οἱ καλῶς ὑπὲρ τῆς εὐσεβείας ἀθλήσαντες, Ἅγιοι,
καὶ ἀξίως θεόθεν στεφανωθέντες,
μὴ παύσησθε Χριστὸν ἡμῖν ἱλεούμενοι
τοῖς μεγαλύνουσι πόθῳ ὑμῶν τὰ παλαίσματα.

Ἦχος γ΄.

Τὴν Τριαδικὴν δοξάσας Θεότητα, Θεόδωρε,
τριπλοῦς ὑπ᾽ Αὐτῆς στεφάνους εἴληφας
ὡς καλλιγράφος, ἱερομύστης καὶ Μάρτυς,
Κυρήνης ἐγκαλλώπισμα τίμιον·
ὅθεν τὴν ἀκραιφνῆ σου καὶ θεάρεστον πολιτείαν μεγαλύνοντες
καὶ τὴν ὑπέρτιμον μνήμην σου ἑορτάζοντες
τὰς θεοπειθεῖς σου πρεσβείας ἐξαιτούμεθα
πρὸς βίον κρείττονα.

Ἦχος δʹ.

Παῤῥησίᾳ Χριστὸν ὁμολογήσας
καὶ συντρίψας τοὺς βωμοὺς τῶν εἰδώλων,
μαρτυρίου τρίβῳ ἠκολούθησας χαίρων, Θεόδωρε.
Κληρονόμος οὖν γενόμενος ἀγαθῶν τῶν αἰωνίων
σὺν ταῖς γυναιξὶ συνάθλοις σου, Ἀρόᾳ καὶ Λουκίᾳ καὶ Κυπρίλλᾳ,
καὶ βουλευτῇ Λουκίῳ, τῷ ὑπὸ σοῦ βαπτισθέντι
καὶ εἶτα ἐν Κύπρῳ ἀθλήσαντι,
χάριν εἴληφας δαψιλῶς πρεσβεύειν
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Δεῦτε ἄνθεσιν ἐγκωμίων καταστέψωμεν
Θεόδωρον, τὸν τῆς Κυρήνης Ἱερομάρτυρα Ἐπίσκοπον,
εὐθαρσῶς τοὺς εἰδώλων λάτρεις τὸν καταισχύναντα,
πιστῶς βοῶντες·
Ὁ ὑπερφρονήσας βασάνους, φραγγελλώσεις, κρέμασιν ἐπὶ ξύλου,
γλώττης ἐκκοπὴν καὶ φυλακὴν ζοφώδη,
μαρτυρικῶν ἠξιώθης στεφάνων
καὶ χάριν εἴληφας πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

Ἀπόστιχα. Ἦχος πλ. αʹ. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ὁ τῆς Κυρήνης ποιμήν,
Ἱερομάρτυς γενναιόφρον καὶ ἄλκιμε,

ὁ πύργος τῆς εὐσεβείας,
ἡ τῆς ἀνδρείας εἰκών,
φάρος ἀριστείας
τηλαυγέστατος,
τρισμάκαρ Θεόδωρε,
θεοκίνητε κάλαμε,
ὁ καλλιγράφος
τῶν βιβλίων τῆς πίστεως,
τοὺς τὰ εἴδωλα
καταισχύνας λατρεύοντας,
πίστεως ὁ ὑπέρμαχος,
βασάνους ὡς ἄσαρκος
ὁ ὑπομείνας καὶ τμῆσιν
σῆς γλώττης, ὄνομα ἅγιον
καθομολογούσης
Ἰησοῦ, ἔλεος πᾶσιν
ἡμῖν παρέχοντος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, ὁ ἐπηρμένην ὀφρὺν
Διγνιανοῦ καταπατήσας, Θεόδωρε,
ἐνστάσει σου στεῤῥοψύχῳ
καὶ ἄθλοις μαρτυρικοῖς,
τοῦ ἀψύχους λίθους,
φεῦ, λατρεύοντος,
Κυρήνης Ἐπίσκοπε
θεαυγὲς καὶ ἀνύστακτε,

ὁ προσελκύσας
πρὸς γενναίαν ἐνάθλησιν
τὴν ὁμήγυριν
γυναικῶν τὴν τρισάριθμον,
πάνυ Λουκίαν, σέμνωμα
Χριστοῦ θείας πίστεως,
Κυπρίλλαν, ἤθους πυξίον,
καὶ τὴν Ἀρόαν τὴν πάνσεπτον,
μεθ' ὧν ἐπαγάλλῃ
νῦν ἐν δόμοις αἰωνίου
ἀγαλλιάσεως.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Μνήμην ἐν εὐλαβείᾳ πολλῇ
ἐπιτελοῦντες οἱ φιλέορτοι σήμερον,
Θεόδωρε, τὴν σεπτήν σου
καὶ μελῳδοῦντες λαμπρῶς
σοῦ τὰς ἀριστείας
τῆς ἀθλήσεως
τὰς σὰς ἐκδεχόμεθα
ἱκεσίας πρὸς Ὕψιστον,
Οὗ περιδόξως
ἐμεγάλυνας ὄνομα
τὸ πανάγιον
μαρτυρίου ἐν σκάμμασιν,
ἵνα καλῶς τὸν δόλιχον

τοῦ βίου ἀνύσωμεν
καὶ εἰς σκηνὰς ὑπερφώτους
τοῦ οὐρανοῦ καταντήσωμεν,
Κυρήνης προΐστορ,
Ἱερομαρτύρων κλέος
περιφανέστατον.

Δόξα. Ἦχος πλ. δ΄.

Θεοδώρητον τῆς Κυρήνης εὖχος,
κατεκόσμησας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, Θεόδωρε,
ὁ δῶρον σεαυτὸν Κυρίῳ δωρησάμενος·
ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες
καὶ ὡς Ἱερομάρτυρα τιμῶντες γενναιότατον
τὰς δωρεὰς τῶν προσευχῶν σου ἐξαιτούμεθα,
ἵνα χάριν καὶ ἔλεος εὕρωμεν ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον. Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις...τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Καλλιγράφον Κυρήνης Ἱερομάρτυρα,
τὸν ἑαυτὸν δῶρον θεῖον
προσενεγκόντα Χριστῷ
δι᾽ ἀρίστης ἐναθλήσεως τιμήσωμεν
ὥσπερ ἀλείπτην ἀπλανῆ
πρὸς μαρτύριον πολλῶν

τὴν πίστιν ἀσπασαμένων
θερμῶς βοῶντες· Λιταῖς σου
ἡμᾶς ἰσχύος θείας ἔμπλησον.

Θεοτοκίον.

Χαῖρε, Πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀνδρείας ἀκρεμών,
εὐσεβείας ἀκρότης,
Μαρτύρων καλλονὴ
καὶ λαμπὰς Ἐπισκόπων
ἀείφωτε, φώτισον
ἀστραπαῖς σῶν δεήσεων
τοὺς γεραίροντας
τὴν σὴν ἐτήσιον μνήμην,
Ἱερόαθλε,
Κυρήνης καύχημα μέγα,
στεῤῥόφρον Θεόδωρε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χειμάῤῥους οἰκτιρμῶν,
ποταμὸς τοῦ ἐλέους,
ἀκένωτος πηγὴ
συμπαθείας πρὸς πάντας
καὶ κρήνη ἀστείρευτος
ἀγαπήσεως πέφηνας,
ἀπειρόγαμε,
Θεογεννῆτορ Παρθένε,
τοὺς οἰκέτας σου
ἡ ἐλεοῦσα ἀπαύστως,
πανύμνητε Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Γενναιότατε Ἱερομάρτυς,
ἐγκαλλώπισμα Ἀρχιερέων
καὶ Μαρτύρων τῆς Κυρήνης πολύολβον,
ὁ καταισχύνας τοὺς σέβοντας εἴδωλα
καὶ μεγαλύνας Χριστοῦ θεῖον ὄνομα,
ῥύου θλίψεων, Θεόδωρε, καὶ στενώσεων
τοὺς πίστει ἀνυμνοῦντάς σου τὴν ἄθλησιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παντευλόγητε Ὑψίστου Μῆτερ,
Λόγου ἄχραντε Θεοκυῆτορ,

ἡ ἀπαύστως ἐλεοῦσα τοὺς δούλους σου
καὶ κατοικτίρουσα ἅπαντας κάμνοντας,
ἐμπεριστάτους καὶ στένοντας, πρόσδεξαι
ὡς θυμίαμα ἡμῶν τὰς λιτὰς πανεύοσμον
καὶ Τόκῳ σου σεπτῷ αὐτὰς προσάγαγε.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἱερομάρτυρα Κυρήνης Πρόεδρον,
ᾧ ἠκολούθησαν εἰς τὸ μαρτύριον
γυναῖκες τρεῖς αἱ εὐσθενεῖς, Λουκία σεμνή, Κυπρίλλα
καὶ Ἀρόα, μέλψωμεν σὺν Λουκίῳ, Θεόδωρον,
τοῦ σταδίου πρώταθλον, ἐκτενῶς οἱ φιλέορτοι
ψυχῆς ἐν κατανύξει βοῶντες· Χαῖρε, τῆς ἀριστείας κέρας.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον· κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 -ιστ΄ 2 ).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν..

Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Γεωργίου.

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Τοῦ Ἱεροάθλου πρεσβείαις, Ἐλεῆμον,...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός
Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου
ἐξάλειψον τὸ ἀνόμημά μου.

Θεοδώρητον τῇ ἐν Κυρήνῃ Ἐκκλησίᾳ γέρας,
Θεόδωρε, ἱερομαρτύρων καλλώπισμα,
Χριστῷ ὡς δῶρον σεαυτὸν προσεκόμισας πολύτιμον·
ὅθεν τὴν μνήμην σου πανηγυρικῶς σήμερον ἑορτάζοντες
καὶ τοὺς εὐσθενεῖς σου μεγαλύνοντες ἀγῶνας
Χριστὸν δοξάζομεν, τὸν ἀξίως σε στεφάνῳ ἀφθαρσίας δοξάσαντα.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

Εἶτα ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς·
«Θεοδώρου, Κυρήνης ἱεροάθλου, αἶνος. Χ.Μ.Μ.»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Θεόδωρε πάντιμε,
τῆς ἐν Λιβύῃ Ἐπίσκοπε
Κυρήνης θεόσδοτε,
δῶρον σαυτὸν τῷ Θεῷ
προσεκόμισας
διὰ τοῦ μαρτυρίου
τοῦ σοῦ, ἱερόαθλε,
πίστεως σέμνωμα.

Ἐπίσκοπε ἄγρυπνε
τῶν Κυρηναίων, Θεόδωρε,
βιβλίων τῆς πίστεως
ὁ καλλιγράφος, στεῤῥῶς
ὡμολόγησας
πρὸ λάτρεων εἰδώλων
Χριστοῦ θεῖον ὄνομα
τοῦ Παντοκράτορος.

Ὁμήγυριν ἄλκιμον
τῶν γυναικῶν τὴν τρισάριθμον
πρὸς ἄθλησιν εἵλκυσας
στεῤῥάν, Κυπρίλλαν σεμνήν,
ἱερόαθλε
καὶ σὺν Ἀρόᾳ, μάκαρ,

Λουκίαν, Θεόδωρε,
τὴν πανσεβάσμιον.

Θεοτοκίον.

Δυνάμεως ἔμπλησον
ἡμᾶς τοὺς σὲ μακαρίζοντας
ἀφθόνως τοῦ Τόκου σου
καὶ παναγάθου Θεοῦ,
παντευλόγητε
Κυρία Θεοτόκε,
καὶ σθένους τὰ ἔνεδρα
θραῦσαι τοῦ δαίμονος.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὡς δῶρον προσήνεγκας Κυρίῳ,
Θεόδωρε πάντιμε, σαυτὸν
διὰ λαμπρᾶς ἐνστάσεως
καὶ ἄθλων μαρτυρίου σου,
δι᾽ ὧνπερ ἐμεγάλυνας
Χριστοῦ τὸ πάνσεπτον ὄνομα.

Ῥοαῖς τῶν τιμίων σου αἱμάτων
Κυρήνης ἡγίασας κλεινῆς
τὴν χθόνα καὶ ἐπέχρωσας
σὴν διπλοΐδα, ἔνδοξε
Θεόδωρε, θεόσδοτε
ἱερομύστα καὶ ἄλκιμε.

Ὁδῷ ἠκολούθησας εὐτόλμως
ἀθλήσεως καὶ τοὺς αἰκισμούς,
σὴν ἐπὶ ξύλου κρέμασιν
καὶ ξέσιν τοῦ σαρκίου σου
ὑπέμεινας ὡς ἄσαρκος,
ἱεροφάντορ Θεόδωρε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, Κεχαριτωμένη,
Παρθένε, ὡς πάντων χαρμονὴν
ἐν λυπηροῖς καὶ θλίψεσι
στενόντων βίου, πάνσεμνε,
Παραμυθία Δέσποινα,
εὐλογημένη Μητρόθεε.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν ἱερόαθλον Κυρήνης ἔφορον,
πόνοις αἰσχύναντα τὸν εἰδωλόφρονα
καὶ ἀσεβῆ Διγνιανόν, ὃν εἶτα αὐτοῦ τοῖς ἄθλοις
τοῖς στεῤῥοῖς μετέστρεψεν εἰς Χριστοῦ τὴν ἀλήθειαν,
πόθῳ ἀνυμνήσωμεν, ἀθλοφόρον Θεόδωρον,
ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, λαμπρὲ Ἱερομάρτυς.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μητέρα μέλψωμεν λαμπρῶς φιλόστοργον
τοῦ Λόγου Κτίσαντος, τοῦ πανοικτίρμονος,

τὴν ἐλεοῦσαν ἀκλινῶς ἀνθρώπων τὸ γένος, ὕμνοις
ὡς δοχεῖον Χάριτος ἁγιάζον ἀείποτε
τοὺς αὐτὴν γεραίροντας εὐλαβῶς καὶ δοξάζοντας
αὐτῆς Υἱὸν τὸν θεῖον βοῶντες· Χαῖρε, φιλανθρωπίας βάθρον.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Κυρηναίων Ποιμενάρχα
ἀθλοφόρε, Θεόδωρε,
ἤνυσας εὐτόλμως
μαρτυρίου τρίβον καὶ εἴληφας
ἐκ τῶν χειρῶν τοῦ Κυρίου στέφος ἄφθαρτον
ὑπὲρ πίστεως
ἀντιδοξάζοντος πόνους σου.

Ὑμνῳδίαις μελιῤῥύτοις
στέφομέν σε, Θεόδωρε,
σοῦ τὴν διπλοΐδα
ῥείθροις ἱεροῖς ἐπιχρώσαντα
αἱμάτων, Μάρτυς, ὁ σκάμμασιν ἀρίστοις σου
σοῦ τὴν ἔλλογον
εὐφράνας ποίμνην, στεῤῥόψυχε.

Ῥαντισμῷ τῶν πρεσβειῶν σου
ἁγιάζεις, Θεόδωρε,
πάντας φιλεόρτους
νῦν ἐπιτελοῦντας τὴν μνήμην σου
τὴν σεβασμίαν ψαλμοῖς καὶ ὕμνοις πρέπουσιν,

ἱερόαθλε
Κυρήνης πανιερώτατε.

Θεοτοκίον.

Ἡ τοῦ κόσμου προστασία
ἐν δεινοῖς καὶ ἀντίληψις,
Κεχαριτωμένη,
ἐν ἀνάγκαις, Θεογεννήτρια,
πέμψον Υἱοῦ σου ἀφθόνως μέγα ἔλεος
τοῖς τιμῶσί σε
ὡς ἐλεοῦσαν πανύμνητον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Νικήσας ἐνστάσει σου
Διγνιανὸν τὸν ἄνομον
εἵλκυσας ἀθλήσει σου ἐννόμῳ
αὐτὸν πρὸς πίστιν
τὴν τοῦ Χριστοῦ, ἀθλητὰ
Θεόδωρε, μύστης ἱερὸς
ἧσπερ ἐχρημάτισας
ἄχρι σῆς ἐναθλήσεως.

Ἡγίασας αἵμασι
τιμίοις σου, Θεόδωρε,
ῥύμας τῆς Κυρήνης, Ἱεράρχα,
καὶ τὴν τριάδα
τῶν εὐλαβῶν γυναικῶν

πρὸς ἄθλησιν ἴθυνας στεῤῥὰν
σὺν Λουκίῳ, ἔνδοξε,
βουλευτῇ τῆς πατρίδος σου.

Στεῤῥόφρον Θεόδωρε,
ἐκρέμασαν τὸ σῶμά σου
ἀπηνῶς οἱ σέβοντες τοὺς λίθους
τοὺς ἀναισθήτους
καὶ ἔξεσάν σου αὐτὸ
περόναις πρὸς αὔξησιν τῶν σῶν
πόνων, ἱερόαθλε
τῆς Κυρήνης Ἐπίσκοπε.

Θεοτοκίον.

Ἰθύντειρα δούλων σου
ἀπλανεστάτη, Δέσποινα,
πρὸς ἐπάλξεις πόλου ὑπερφώτους,
κατεύθυνόν με
πρὸς σωτηρίας σκηνὰς
τῶν σῶν θαυμασίων τὴν πληθὺν
μέλποντα ἑκάστοτε,
Ἐλεοῦσα Μητρόθεε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Εὐκλείας μέτοχος γέγονας
τῆς θείας, Ἱεράρχα Θεόδωρε,
δι’ ἐναθλήσεως

στεῤῥᾶς καὶ θείου ὀνόματος
Χριστοῦ πρὸ τῶν ἀπίστων
ὁμολογήσεως.

Ῥοαῖς, Θεόδωρε ἄλκιμε,
αἱμάτων σου τιμίων ἐφοίνιξας
τὴν διπλοΐδα σου
καὶ καθηγίασας στάδιον
Κυρήνης μαρτυρίῳ
γενναιοτάτῳ σου.

Ὁδὸν ἀθλήσεως ἔδειξας,
ἣν ἤνυσας εὐτόλμως, Θεόδωρε,
Μάρτυς Ἐπίσκοπε,
Ἀρόᾳ τῇ γενναιόφρονι,
Λουκίᾳ καὶ Κυπρίλλᾳ,
συναθλησάσαις σοι.

Θεοτοκίον.

Ἁγνείας ῥεῖθρον ἀκένωτον,
ἀδροσίζουσα μὴ παύσῃ τοὺς δούλους σου
σὲ μεγαλύνοντας
ὡς ἐλεοῦσαν ἀνύστακτον
τοῦ δήμου Χριστωνύμων,
Θεογεννήτρια.

## Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Σεπτὸν Κυρήνης Ἱεράρχην, τὸν κοσμήσαντα
ποιμαντορίαν τὴν αὐτοῦ αἱμάτων ῥεύμασιν,
ὡς σταδίου ἀριστέα καὶ ὀλετῆρα
τῶν σεβόντων, φεῦ, τὰ εἴδωλα, τιμήσωμεν
κολασμοὺς τὸν ἀνυποίστους ὑπομείναντα
ὕμνοις κράζοντες· Χαίροις, μάκαρ Θεόδωρε.

## Ὁ Οἶκος.

Ἄγγελος ἀνεφάνης
ἐν Κυρήνῃ Λιβύης,
Θεόδωρε, σεπτὲ ἀρχιθῦτα,
ποιμασίας καὶ ἀθλητικῆς
ἀριστείας, Μάρτυς τῆς Χριστοῦ πίστεως·
διό σε μεγαλύνοντες
κραυγάζομεν ἐν εὐλαβείᾳ·

Χαῖρε, ὁ Πρόεδρος Κυρηναίων·
χαῖρε, ὁ πρόβολος πολυάθλων.

Χαῖρε, ὀλετὴρ τῶν σεβόντων τὰ εἴδωλα·
χαῖρε, ἰθυντὴρ τῆς σῆς ποίμνης πρὸς κρείττονα.

Χαῖρε, ὅτι κατεπάτησας τὴν ὀφρὺν Διγνιανοῦ·
χαῖρε, ὅτι ἄθλοις γέγονας κληρονόμος οὐρανοῦ.

Χαῖρε, ὁ ὑπομείνας ἀκλινῶς φραγγελλώσεις·
χαῖρε, ὁ καταισχύνας τῶν εἰδώλων τοὺς λάτρεις.

Χαῖρε, λαμπὰς φωσφόρος τῆς πίστεως·
χαῖρε, ἰκμὰς ἀρίστης ἀθλήσεως.
Χαῖρε, φωστὴρ ἀθλοφόρων Κυρίου·
χαῖρε, λαμπτὴρ ἀριστέων σταδίου·
Χαίροις, μάκαρ Θεόδωρε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Δ΄ Ἰουλίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου Ἱερομάρτυρος Θεοδώρου, Ἐπισκόπου Κυρήνης.

Στίχοι.
Ἐν εἱρκτῇ ψυχὴν Θεῷ ἔδωκας δῶρον,
Θεόδωρε, Κυρήνης Ἱερομύστα.

Συναξάριον.

Ὁ ἔνδοξος Ἱερομάρτυς Θεόδωρος ἤκμασεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ τοῦ βασιλέως, ἐν ἔτει 299, καταγόμενος ἐκ τῆς ἐν Λιβύῃ Κυρήνης. Καλλιγράφος ὢν καὶ βιβλία θησαυρίζων ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις διεβλήθη, φεῦ, ὑπὸ τοῦ υἱοῦ αὐτοῦ, Λέοντος ὀνομαζομένου, τῷ ἡγεμόνι Διγνιανῷ ὡς μεταστροφεὺς εἰδωλολατρῶν εἰς τὴν εὐσέβειαν. Ὁδηγηθεὶς ὅθεν ἔμπροσθεν τοῦ ἡγεμόνος σὺν πλήθει Χριστιανῶν, ἐν οἷς καὶ αἱ Μάρτυρες, Λουκία, Ἀρόα καὶ Κυπρίλλα, ἠρνήθη παραδοῦναι αὐτῷ τὰ βιβλία καὶ Χριστὸν ἀρνήσασθαι. Ἀπηνῶς οὖν ἐδάρη διὰ ῥαβδίων καὶ λωρίων ἐχόντων μολυβδίνους σφαίρας. Εἶτα λακτίσας

ὁ Ἅγιος τὸν βωμὸν τῶν εἰδώλων ἐκρήμνισεν αὐτὸν καὶ διὰ τοῦτο κρεμασθεὶς κατεσχίσθη τὰς σάρκας καὶ τὴν γλῶτταν ἀπεκόπη, ἣν παρέλαβον αἱ ὡς ἄνω Ἅγιαι γυναῖκες. Μετὰ ταῦτα εἱρκτῇ ἐνεκλείσθη ὁ Μάρτυς, ἔνθα ἔλαβε παρὰ τῶν γυναικῶν τὴν γλῶτταν αὐτοῦ καὶ κατεῖδε θαυμασίως περιστερὰν ἱπταμένην πέριξ τοῦ Ἁγίου καὶ ταὼν ἀνελθόντα ἐπὶ τοῦ παραθύρου τῆς φυλακῆς. Ἰδὼν αὐτὰ Λούκιος, ὁ τῆς Κυρήνης βουλευτής, ἐπίστευσεν εἰς Χριστόν. Εὐθὺς ὁ Ἅγιος ἰαθεὶς Χάριτι Θείᾳ μετ' ὀλίγον εἰρηνικῶς παρέδωκε τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ ζῶντος καὶ ἡ περιστερὰ ἀσπασαμένη αὐτὸν ἐξῆλθε τοῦ κελλίου τῆς φυλακῆς. Μετὰ τὸν θάνατον τοῦ Μάρτυρος Ἐπισκόπου ὡδηγήθησαν εἰς τὸ μαρτύριον αἱ τρεῖς ἀνωτέρω Ἅγιαι γυναῖκες. Ὁ Λούκιος βαπτισθεὶς κατέπιθε τὸν Διγνιανὸν ἐπιστρέψαι εἰς Χριστὸν καὶ ἀμφότεροι ἐπιβιβασθέντες πλοίου ἀπέπλευσαν εἰς Κύπρον, ἔνθα μαρτυρικῶς ὁ Λούκιος ἐτέλεσε τὸν βίον καὶ τὸ σκήνωμα αὐτοῦ εὐλαβῶς ἐνεταφιάσθη ὑπὸ τοῦ Διγνιανοῦ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Θεοπρόβλητε
Ἐπίσκοπε, Θεόδωρε,
Κυρήνης Πρόεδρε,
ἀθλητικὰς ἀτραποὺς
ἐκθύμως ἐβάδισας
καὶ εἰς σκηνώματα

πόλου ἔφθασας
συγχαίρειν τῷ Παντάνακτι
Ἰησοῦ ἀδιαλείπτως.

Λύθροις ἔχρωσας
αἱμάτων σου, Θεόδωρε,
Κυρήνης Πρόεδρε,
αὐτῆς τὰς ῥύμας, σεπτέ,
δεινὰ κολαστήρια
ὡς ἄλλου πάσχοντος,
ἱερόαθλε,
τῆς Ἐκκλησίας σέμνωμα
τιμαλφές, ὁ ὑπομείνας.

Ὄλβος πέφηνας,
Θεόδωρε, τῆς πίστεως
Χριστοῦ ἀτίμητος
καὶ θησαυρὸς ἀρετῆς,
ψυχῆς γενναιότητος,
ἐγκαρτερήσεως,
ἐνθεώτατε,
τοῦ μαρτυρίου σκάμμασι
καὶ ἀνδρείας, ἀρχιθῦτα.

Θεοτοκίον.

Ὑπερύμνητε
Μητρόθεε, ἱλέωσαι
τοῖς ἀνυμνοῦσί σε

τὸν σὸν Υἱὸν καὶ Θεόν,
σεμνὴ ἀειπάρθενε,
ἡ περισκέπουσα
τοὺς τιμῶντάς σε
καὶ ἐλεοῦσα πάντοτε
τοὺς ζητοῦντάς σου τὴν χάριν.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἄνωθεν, Θεόδωρε, τὸ σθένος
τροπῶσαι Διγνιανὸν πλουσίως εἴληφας,
εἴδωλα τὸν σέβοντα
τῆς Κυρήνης ἄρχοντα,
καὶ δύναμιν ἀθλήσεως
ἀνῦσαι σκάμματα
γενναίως, ἱερόαθλε μάκαρ,
ὁ καλῶς τελέσας
σὸν ἱερὸν ἀγῶνα.

Ἴσχυσας, Θεόδωρε, τὴν πίστιν
κηρῦξαι τοῖς Κυρηναίοις, ἱερώτατε,
τοῦ Χριστοῦ ἀλήθειαν
πρὸ εἰδώλων λάτρεων
τοῦ βήματος καὶ ἅπασιν
αὐτήν, τὴν σῴζουσαν,
σαφῶς ὁμολογῆσαι, τρισμάκαρ,
ἄχρις ἀνυποίστων
καμάτων μαρτυρίου.

Νέκταρι καθήδυνας σῶν ἄθλων,
Θεόδωρε, μαρτυρίου, ἱερώτατε
τῆς Κυρήνης ἔφορε,
ἀκολουθησάσας σοι
γυναῖκας τρεῖς, θεσπέσιε,
Ἀρόαν πάντιμον,
Κυπρίλλαν εὐσθενῆ καὶ Λουκίαν,
μεθ' ὧν ἐπαγάλλῃ
νῦν ἐν σκηναῖς τοῦ πόλου.

Θεοτοκίον.

Οἴκτιρον τοὺς δούλους σου, Παρθένε,
καὶ πέμψον σοῦ θείου Τόκου μέγα ἔλεος
τοῖς ἀνευφημοῦσί σε,
Θεοκῦμον ἄχραντε,
ὡς ἐλεοῦσαν ἅπαντας
τοὺς σοὶ προσφεύγοντας
ἐν πάσῃ περιστάσει, ἀνάγκαις,
κλύδωσι καὶ ζάλαις
ταῖς καθ' ἑκάστην βίου.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στῦλος ἀῤῥαγὴς
ἐπώφθης, Θεόδωρε,
Χριστοῦ τῆς πίστεως,
βάθρον γενναιότητος
καὶ ποιμασίας

σεπτῆς θεμέλιον·
διό σε μεγαλύνοντες
πιστῶν οἱ σύλλογοι
ἱκεσίας
σὰς θερμὰς αἰτούμεθα
πρὸς τὸν Λόγον Θεοῦ τὸν εὐΐλατον.

Χαῖρε, θαυμαστὲ
Κυρήνης Ἐπίσκοπε,
μάκαρ Θεόδωρε,
χαῖρε, ἱερόαθλε,
ὁ καταισχύνας
τοὺς λίθους σέβοντας
σοῖς ῥήμασι καὶ σκάμμασι
τοῦ μαρτυρίου σου,
χαῖρε, στῦλε
εὐτολμίας ἄσειστε,
ὁ στηρίξας σοῖς λόγοις τὴν ποίμνην σου.

Μάρτυς εὐσθενές,
Κυρήνης Ἐπίσκοπε,
στεῤῥὲ Θεόδωρε,
αἰκισμοὺς ὑπέμεινας,
ἐπὶ τοῦ ξύλου
ἄδικον κρέμασιν,
ξεσμοὺς σεπτοῦ σου σώματος,
γλώσσης ἀπότμησιν
καὶ τὸν ζόφον

φυλακῆς, πανεύφημε,
εὐσεβείας, τρισμάκαρ, ὑπέρμαχε.

Θεοτοκίον.

Μέμνησο ἡμῶν
πιστῶς ἀνυμνούντων σε,
Θεογεννήτρια,
χοϊκῶν διάσωσμα,
ὡς ἐλεοῦσαν
τοὺς ἐν τοῖς κλύδωσι
χειμαζομένους πάντοτε
καὶ ἐπομβρίζουσαν
οὐρανόθεν
ὑετὸν σῆς χάριτος
καὶ θερμῆς τοῖς πιστοῖς ἀντιλήψεως.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Πανευσταλὲς Ἐπίσκοπε
Κυρήνης, ἱερόαθλε,
ὁ καλλιγράφος βιβλίων
τῆς Ἐκκλησίας, ἐκθύμως
πρὸς μαρτυρίου σκάμματα
ἐχώρησας, Θεόδωρε,
καὶ γυναικῶν πρὸς ἄθλησιν
ἐγένου θεῖος ἀλείπτης
τριῶν, λαμπρὲ στεφηφόρε.

Θεοτοκίον.

Φιλόστοργε, φιλάνθρωπε
καὶ ἄγαν εὐσυμπάθητε
Μῆτερ Θεοῦ τοῦ Ὑψίστου,
εὐλογημένη Παρθένε,
ἡ ἐλεοῦσα δούλους σου
ἐμπεριστάτους πάντοτε,
θεόθεν ἐπιβράβευσον
ἡμῖν τοῖς σὲ ἀνυμνοῦσι
τοὺς οἰκτιρμοὺς τοῦ Υἱοῦ σου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους στʹ
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος αʹ. Πανεύφημοι Μάρτυρες.

Κυρήνης Ἐπίσκοπε λαμπρέ,
ἄθλοις σου προσείλκυσας
Διγνιανὸν εἰς εὐσέβειαν
καὶ κατηγλάϊσας
ἔλλογόν σου ποίμνην
ἱερᾷ ἐνστάσει σου
καὶ σῇ ἐγκαρτερήσει ἐν σκάμμασι
τοῦ μαρτυρίου σου·
ὅθεν πάντες ἑορτάζομεν
σοῦ τὴν μνήμην
ἐκθύμως τὴν πάνσεπτον.

Θεῷ ὥσπερ δῶρον τιμαλφὲς
σεαυτὸν παρέδωκας,
Ἱερομάρτυς Θεόδωρε,
πάνυ Ἐπίσκοπε
ποίμνης Κυρηναίων,
ὁ τοὺς εἰδωλόφρονας
αἰσχύνας τῇ εὐτόλμῳ ἐνστάσει σου,
ἄθλοις ἀρίστοις σου
καὶ ἐν φυλακῇ, πανύμνητε,
τελευτῇ σου
ὑπὲρ θείας πίστεως.

Αἰσχύνας ἐνστάσει σου στεῤῥᾷ
λίθους τοὺς λατρεύοντας
τοὺς ἀναισθήτους, Θεόδωρε,
πάντας ἠγλάϊσας
Κυρηναίους, Μάρτυς,
ὧν σεπτὸς Ἐπίσκοπος
καὶ ἄγρυπνος, σοφέ, ἐχρημάτισας,
θεοφορούμενε,
οὐρανόθεν ὁ δεξάμενος
ἀφθαρσίας
χρυσόπλοκον στέφανον.

Πιστοὶ συνελθόντες εὐλαβῶς
νῦν τὴν θείαν μνήμην σου
περιχαρῶς ἑορτάζοντες
πόνους ἀθλήσεως

μεγαλύνομέν σου,
τῆς Κυρήνης Πρόεδρε,
Θεόδωρε, στεῤῥὲ ἱερόαθλε,
καὶ τὰς συνάθλους σου
ἐγκωμίων ἴοις στέφομεν
τρεῖς γυναῖκας,
τῆς πίστεως πρόβολε.

Τὴν μνήμην σου ἄγων εὐλαβῶς
ἐν τῇ Μόσχᾳ, Ἅγιε,
ἑπόμενός σοι Ἐπίσκοπος
χαίρων ἐθαύμασε
ὑπὸ χάριτός σου
δυσμενοῦς, Θεόδωρε,
καιροῦ μεταβολήν, ἱερόαθλε,
πρὸς ἀνακούφισιν
λειτουργῶν σῆς πανηγύρεως,
παῤῥησίαν
μὴ γνόντων τὴν θείαν σου.

Βαστάζων εἰκόνα σου σεπτὴν
ἐν χερσί, Θεόδωρε,
ὁ νῦν Κυρήνης Ἐπίσκοπος,
τρόπων διάδοχος
σοῦ, Ἱερομάρτυς,
θαυμασίων πρόξενε,
ἐξῆλθεν εἰς βροχὴν καὶ ἑώρακεν
ἀλεξιβρόχιον

www.tezaurliturgic.ro

ὡς κατέχουσαν ἀόρατον
ταύτην ξένως
ψεκάδων ἀνέπαφον.

Δόξα. Ἦχος πλ. α΄.

Δῶρον ἄσυλον ὁ σεαυτὸν ἐγχειρίσας τῷ Κυρίῳ
καὶ μαρτυρίου σου ἄθλοις Κυρηναίων εὐφράνας δήμους,
ὧν ποιμὴν ἀνύστακτος ἐχρημάτισας, Θεόδωρε,
ἀθλητικῶς τὸν βίον ἐπεράτωσας·
ὅθεν ἡμεῖς σήμερον τὴν μνήμην σου ἑορτάζοντες
καὶ τὸ εὔτονον τῆς καρδίας σου μεγαλύνοντες
Χριστὸν δοξάζομεν τὸν σὲ κραταιώσαντα
καὶ παρέχοντα πᾶσιν εὐχαῖς σου τὸ ἄμετρον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱερομάρτυρος ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος· πρὸς Ἐφεσίους (Κεφ. στ΄ 10-17).

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος...

Ζήτει τῇ κζ΄ Κυριακῇ.

Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. κα΄ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

Ὅρα τὸ εἰς τὸν Ὄρθρον τοῦ Ἁγίου Γεωργίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις, καλλιγράφε πανευπρεπὲς
καὶ σεπτὲ Κυρήνης

ἀρχιθῦτα, μαρτυρικῶς
βίον ὁ τελέσας,
Θεόδωρε, καὶ Κτίστῃ
ὁ σεαυτὸν κομίσας
δῶρον ὡς πάντιμον.

Δίστιχα.

Θεόδωρον ἦσε, Κυρήνης Ποιμένα,
Ἀθανασίου ὀτρύνσει Χαραλάμπης.
Θεοδώρου, Κυρήνης Ἐπόπτου, ἦσε
ξένα Χαραλάμπης Θεοδώρου χάριν.



# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΚΥΡΗΝΗ ΑΓΙΩΝ

Ψαλλομένη τῇ ΚΗ΄ Νοεμβρίου



# ΑΓΙΟΙ ΤΗΣ ΚΥΡΗΝΗΣ

Ἀλέξανδρος, Ἀπόστολος, υἱὸς Σίμωνος Κυρηναίου, 28 Φεβρουαρίου
Ἀμμώνιος, Μάρτυς, Ἀναγνώστης, 26 Μαρτίου
Ἀριστόβουλος, Ἀπόστολος, 31 Ὀκτωβρίου
Ἀρόα, Μάρτυς, 5 Ἰουλίου
Βαρνάβας, Ἀπόστολος, 11 Ἰουνίου
Γεώργιος, Τροπαιοφόρος, Μεγαλομάρτυς, 23 Ἀπριλίου καὶ 3 Νοεμβρίου
Διγνιανός, Ὁμολογητής, 20 Αὐγούστου
Εἰρηναῖος, Μάρτυς, Διάκονος, 26 Μαρτίου
Θεόδωρος, Ἐπίσκοπος, προεξάρχων, 4 Ἰουλίου
Θεόδωρος, Ἐπίσκοπος, ἕτερος, Ἱερομάρτυς, 26 Μαρτίου
Κυπρίλλα, Μάρτυς, 5 Ἰουλίου
Κύριλλα ἢ Σύριλλα, Παρθενομάρτυς, 28 Ὀκτωβρίου
Λουκία, Μάρτυς, 5 Ἰουλίου
Λούκιος, Ἀπόστολος ἐκ τῶν Ἑβδομήκοντα, 4 Ἰανουαρίου
Λούκιος, Μάρτυς, 20 Αὐγούστου
Μαρία, μήτηρ Ἀποστόλου Μάρκου, 30 Ἰουνίου
Μᾶρκος, Ἀπόστολος, Εὐαγγελιστής, 25 Ἀπριλίου
Ὀνησιφόρος, Ἀπόστολος ἐκ τῶν Ἑβδομήκοντα, 7 Σεπτεμβρίου
Ῥόδη, ἀποστολικὴ παιδίσκη, 15 Ἰανουαρίου
Ῥοῦφος, Ἀπόστολος, υἱὸς Σίμωνος Κυρηναίου, 28 Φεβρουαρίου
Ῥοῦφος, Ἐπίσκοπος ἐν τῇ Συνόδῳ Νικαίας, Κυριακὴ τῶν Θεοφόρων Πατέρων τῆς Α΄ Οἰκουμενικῆς Συνόδου
Σεραπίων, Μάρτυς, Ἀναγνώστης, 26 Μαρτίου
Σίμων Κυρηναῖος, Ἀπόστολος, 27 Φεβρουαρίου
Σύζυγος Σίμωνος Κυρηναίου, ἀποστολικὴ γυνή, 28 Φεβρουαρίου
Τρυφωνία, Μάρτυς, 18 Ὀκτωβρίου

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ,
εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ′
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Ἐν τῇ Ὁδῷ Μαρτυρίου
τὸν παραπαίοντα
ἐκ τοῦ Σταυροῦ τοῦ βάρους,
Ἰησοῦν, Θεοῦ Λόγον,
κουφίσαντα ἐν ὕμνοις πάντες πιστοὶ
εὐφημήσωμεν, Σίμωνα
τὸν Κυρηναῖον, ἐρχόμενον ἐξ ἀγροῦ
σταυροφόρον ὥσπερ Ἄγγελον.

Τὸν φωτιστὴν τῆ Κυρήνης,
Μᾶρκον Ἀπόστολον,
Εὐαγγελίου θείου
συγγραφέα ἐξ ὕψους

λαβόντα Παρακλήτου χάριν φαιδρῶς
σὺν Μαρτύρων τῆς πίστεως
ἀναιρεθέντων μαχαίραις ἐχθρῶν χορῷ
ἐν Κυρήνῃ ἀνυμνήσωμεν.

Βαρνάβαν τὸν θεηγόρον
ἀνευφημήσωμεν
σὺν τῇ Μαρίᾳ, Μάρκου
Ἀποστόλου Μητέρα,
Ἀλέξανδρον καὶ Ῥοῦφον σὺν τῇ μητρὶ
τῇ αὐτῶν, ἣν Ἀπόστολος,
ὁ θεῖος Παῦλος, μητέρα αὐτοῦ σεπτὴν
ὀνομάζει, ὕμνοις πρέπουσι.

Λουκίου τοῦ Ἐπισκόπου
ἀγῶνας μέλψωμεν,
τοῦ Ἀλεξάνδρου ἄθλους
θείους ἐν Καρθαγένῃ
καὶ Ρούφου, Ἐπισκόπου, διαγωγὴν
τὴν θεάρεστον ᾄσμασι
καὶ σὺν Κυρήνης χορείᾳ τῶν προστατῶν
τὸν Θεόδωρον τὸν ἔνδοξον.

Δόξα. Ἦχος β΄.

Τὴν ἐν Κυρήνῃ Λιβύης Ἁγίων ὁμήγυριν,
τῶν αὐτῆς προστατῶν καὶ φυλάκων,
κοινοῖς ἐν ὕμνοις εὐφημήσωμεν σήμερον
καὶ αὐτοῖς ἐν εὐλαβείᾳ βοήσωμεν·

Σίμων σὺν τῇ συνεύνῳ σου, Ῥοῦφε καὶ Ἀλέξανδρε,
Βαρνάβα Ἀπόστολε καὶ Εὐαγγελιστὰ Μᾶρκε
σὺν τῇ μητρί σου Μαρίᾳ,
Θεόδωρε καὶ Λούκιε, Ἐπίσκοποι,
Μάρτυρες, Λούκιε, Ἀρόα, Λουκία, Κυπρίλλα,
ὁμοῦ σὺν τῷ χορῷ τῶν ὑμῶν συνάθλων,
Ὀνησιφόρε ἀπόστολε, Ῥόδη, ἀποστολικὴ παιδίσκη,
Διγνιανέ, Εἰρηναῖε, Σεραπίων καὶ Ἀμμώνιε,
Τρυφωνία σὺν Κυρίλλᾳ παρθενομάρτυρι
καὶ τῷ νέφει τῶν ἐν Κυρήνῃ διαλαμψάντων Ἁγίων,
μὴ παύσησθε Χριστῷ πρεσβεύοντες ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίρετε, ἐναργεῖς
ἀκέστορες Κυρήνης,
Ἀπόστολοι, Ποιμένες
καὶ Μάρτυρες γενναῖοι,
τῶν οὐρανῶν οἰκήτορες.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ῥοῦφε θεοειδές,
Ἀλέξανδρε γενναῖε,
πνευματοφόρε Σίμων,
Ἀπόστολε Βαρνάβα
καὶ Μᾶρκε πάνυ, χαίροιτε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Λούκιε θαυμαστέ,
Θεόδωρε φωσφόρε,
Κυρήνης Ἱεράρχαι,
Χριστὸν καθιλεοῦσθε
ἡμῖν σὺν θείοις Μάρτυσι.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, πανσθενὲς
Τριὰς ὑπεραγία,
Θεέ, τοῦ κόσμου Σῶτερ,
ὁ ὑπ' Ἁγίων πάντων
Κυρήνης δοξαζόμενος.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μῆτερ Θεοῦ
ὑπερευλογημένη,
πρὸς οὐρανῶν σκηνώσεις

ἡ ἀπλανῶς σοὺς δούλους
ἀπαύστως κατευθύνουσα.

Νῦν ἀπολύεις......τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον
ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ,
εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στʹ
καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια·

Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσι.

Δεῦτε πάντες φιλέορτοι
τῶν Ἁγίων ὁμήγυριν
ὕμνοις εὐφημήσωμεν τὴν θεόλεκτον
Κυρήνης, Μᾶρκον, Ἀπόστολον,
Μαρίαν, φιλόστοργον
νῦν μητέρα τὴν αὐτοῦ,
τὸν Βαρνάβαν τὸν ἔνθεον
καὶ σὺν Σίμωνι
τὸν Σταυρὸν πρὸς τοῦ Γολγοθᾶ τὸν λόφον
τῷ ἐπάραντι Κυρίου
Ῥοῦφον σεπτὸν καὶ Ἀλέξανδρον.

Δεῦτε ᾄσμασι Σίμωνα
Κυρηναῖον τιμήσωμεν,
Ἀλεξάνδρου, πάντες, καὶ Ῥούφου εὔσημον
πατέρα, ὅνπερ ἠγγάρευσαν
Σταυρὸν ἆραι Κτίσαντος
στρατιῶται ἀσεβεῖς
Λόγου, κόσμου τοῦ αἴροντος
ἁμαρτήματα,
ὡς βαδίσαντα τρίβους Ἀποστόλων
καὶ ἐν τῇ Ἀντιοχείᾳ
Χριστοῦ τὴν πίστιν κηρύξαντα.

Τὰς πλοκὰς διαλύσαντα
τῶν ῥητόρων τιμήσωμεν
Μᾶρκον, τὸν Ἀπόστολον, τὸν κηρύξαντα
ἐν τῇ Κυρήνῃ τὸ πάνσεπτον
Χριστοῦ Εὐαγγέλιον,
ὃ συνέγραψε σαφῶς
Παρακλήτου τῇ Χάριτι,
πόθῳ κράζοντες·
Χαῖρε, Πέτρου συνέκδημε καὶ τέκνον
τῆς Μαρίας, αὐταδέλφου
Βαρνάβα τοῦ οὐρανόφρονος.

Ῥοῦφον ὕμνοις, Ἐπίσκοπον,
εὐφημήσωμεν ᾄσμασι
καὶ στεῤῥὸν Ἀλέξανδρον, καλλιμάρτυρα,
σὺν ὁμοζύγῳ τοῦ Σίμωνος,

μητέρα ὁ ἔνθεος
ἥνπερ Παῦλος εὐκρινῶς
ὀνομάζει, καὶ Λούκιον,
τὸν Ἐπίσκοπον,
ὡς Κυρήνης εὐάνδρου πολιούχους
καὶ ἀκέστορας καὶ ῥύστας
ἐξ ἀλγεινῶν περιστάσεων.

Ἱεράρχην Θεόδωρον,
μαρτυρίου βαδίσαντα
ἀτραπὸν ὡς πάσχοντος ἄλλου μέλψωμεν
σὺν τῷ Λουκίῳ θεόφρονι,
Κυρήνης, τὸν Λούκιον,
βουλευτήν, καὶ τὸν χορὸν
τῶν γυναίων τὸν ἄλκιμον
ὕμνοις πρέπουσι,
τὴν Ἀρόαν, Λουκίαν καὶ Κυπρίλλαν,
σὺν στεῤῥᾷ αὐτῶν χορείᾳ
συνάθλων πάντες φιλέορτοι.

Ἀποστόλους καὶ Μάρτυρας,
εὐσχημόνως τιμήσωμεν
σὺν τοῖς Ἱεράρχαις Κυρήνης κράζοντες
ἐν εὐλαβείᾳ· Στεῤῥότατοι
τῆς πίστεως πρόβολοι,
δυσωπεῖτε ἐκτενῶς
τὸν Δεσπότην τῆς κτίσεως
δοῦναι ἅπασι

τοῖς ὑμᾶς εὐφημοῦσιν ἄμφω ῥῶσιν
καὶ ὑγίειαν καὶ σθένος
καταπαλαῖσαι τὸν ἔχθιστον.

Δόξα. Ἦχος πλ. β'.

Πνευματικῶς εὐωχούμενοι καὶ χεῖρας κροτοῦντες
συνήχθημεν σήμερον οἱ φιλέορτοι τιμῆσαι
τοὺς ἐν τῇ Κυρήνῃ Ἁγίους,
Ἀποστόλους, Ἱεράρχας καὶ Μάρτυρας,
κοσμοῦντας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν
μαργαρίταις ἱδρώτων καὶ ἄθλων
καὶ ἐν κατανύξει αὐτοῖς βοῆσαι·
Φωστῆρες ἀείφωτοι τῆς ἀληθείας
καὶ λαμπαδοῦχοι τοῦ Πνεύματος,
φωτίσατε τὸν ζόφον παθῶν καὶ θλίψεων
τῶν ἐκθύμως τελούντων ὑμῶν τὸ μνημόσυνον.

Καὶ νῦν. Θεοτοκίον.
Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. θ' 1 - 11).

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα, ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τρά-

πεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα λέγουσα· ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· ἔλθετε φάγετε τῶν ἐμῶν ἄρτων καὶ πίετε οἶνον, ὃν ἐκέρασα ὑμῖν· ἀπολείπετε ἀφροσύνην, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε καὶ ζητήσατε φρόνησιν καὶ κατορθώσατε ἐν γνώσει σύνεσιν. Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας φόβος Κυρίου καὶ βουλὴ ἁγίων σύνεσις, τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς· τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 9 - 15).

Τέκνον, μὴ λίκμα ἐν παντὶ ἀνέμῳ καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ· οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος. Ἴσθι ἐστηριγμένος ἐν συνέσει σου καὶ εἷς ἔστω σου ὁ λόγος. Γίνου ταχὺς ἐν ἀκροάσει σου καὶ ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν. Εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον· εἰ δὲ μή, ἡ χείρ σου ἔστω ἐπὶ στόματί σου. Δόξα καὶ ἀτιμίᾳ ἐν λαλιᾷ καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ. Μὴ κληθῇς ψίθυρος καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε· ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου. Ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα.

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἐν τῇ Λιβύῃ Κυρήνη,
καὶ ἀγάλλεσθε, Χριστωνύμων οἱ δῆμοι,
τιμῶντες τοὺς ἐν αὐτῇ διαλάμψαντας Ἁγίους
ἀποστολικοῖς καμάτοις,
ποιμαντικοῖς ἱδρῶσι καὶ μαρτυρίου αἵμασι
καὶ ἐν ἀγαλλιάσει βοήσατε·
Μᾶρκε σὺν τῇ Μητρί σου, Μαρίᾳ,
Βαρνάβα καὶ Ὀνησιφόρε, Ἀπόστολοι,
σὺν Ῥόδῃ, τῇ ἀποστολικῇ παιδίσκῃ,
Θεόδωρε καὶ Λούκιε, Ἱεράρχαι,
Σίμων σὺν τῇ ὁμοζύγῳ καὶ τοῖς υἱοῖς σου,
Ῥούφῳ καὶ Ἀλεξάνδρῳ,
Λούκιε, βουλευτά, καὶ σὺν χορῷ ἀνωνύμων Μαρτύρων
Ἀρόα, Κυπρίλλα καὶ Λουκία,
Κύριλλα καὶ Τρυφωνία,
μὴ παύσησθε Χριστὸν ἡμῖν ἱλεούμενοι
τοῖς τιμῶσιν ἐν πίστει ὑμῶν τὴν πανέορτον σύναξιν.

### Ἦχος β΄.

Τὸν ἄκοντα τὸν Σταυρὸν ἀράμενον πρὸς Γολγοθᾶν τοῦ Κυρίου
καὶ ἑκόντα βαδίσαντα Ἀποστόλων τρίβους,
Σίμωνα τον Κυρηναῖον, εὐφημήσωμεν
ὡς πρότυπον ἀνδρὸς τὴν καλὴν ὑποστάντος ἀλλοίωσιν

σὺν τοῖς ἀνωνύμοις χοροῖς τῶν ἐν Κυρήνῃ
ἀναιρεθέντων Μαρτύρων, οὕτω λέγοντες·
Οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες καὶ στεφανωθέντες, Ἅγιοι,
μὴ παύσησθε Κυρίου δεόμενοι ὑπὲρ τῶν τιμώντων
ὑμῶν τὰ ἱερὰ κατορθώματα καὶ τὴν πανένδοξον ἄθλησιν.

## Ἦχος γʹ.

Τὸν διαχαράξαντα τὸ τοῦ Σωτῆρος Χριστοῦ ἱερὸν Εὐαγγέλιον
καὶ τῇ σαγήνῃ τῶν αὐτοῦ ῥημάτων ζωγρήσαντα πάντα τὰ ἔθνη
ὡς Κυρήνης φωτιστὴν καὶ διδάσκαλον, Μᾶρκον, τιμήσωμεν
καὶ αὐτῷ ἐν εὐλαβείᾳ εἴπωμεν·
Ὁ ὑποδείξας τοῖς Μαθηταῖς τοῦ Κυρίου
Μυστικοῦ Δείπνου τὸ ὑπερῷον ἐν τῷ οἴκῳ τῆς μητρός σου,
ὑπόδειξον καὶ ἡμῖν τὸν δρόμον
ἀπάγοντα πρὸς τῶν οὐρανῶν ὑπερῷον
Κυρίῳ συνδειπνῆσαι τῷ παρέχοντι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Ἦχος δʹ.

Τοὺς ἐγείραντας τρόπαια θριάμβου τῆς πίστεως
ἐν τῇ εὐάνδρῳ καὶ εὐσήμῳ Κυρήνῃ,
στηριζομένους ἐν τῷ Χριστῷ, τῷ ἀῤῥαγεστάτῳ θεμελίῳ τῆς πίστεως,
Ἀποστόλους, Ἱεράρχας καὶ Μάρτυρας, τιμήσωμεν
ὡς ἐργάτας φιλέργους τῆς εὐσεβείας οὕτω λέγοντες·
Οἱ μετέχοντες τῶν αἰωνίων ἀγαθῶν ἐν πόλῳ,
ἀδιαλείπτως Χριστῷ πρεσβεύσασε καὶ ἡμᾶς ἀξιῶσαι
τυχεῖν τῆς ἐν αὐτῷ ἀγαλλιάσεως.

Δόξα. Ὁ αὐτός.

Θεόλεκτον σύλλογον τῶν ἐν Κυρήνῃ Ἁγίων
κοινοῖς ἐν ᾄσμασι δεῦτε ἀνυμνήσωμεν φιλέορτοι
τοὺς ἀῤῥαγεστάτους θεμελίους τῆς εὐσεβείας
καὶ φωστῆρας τῆς οἰκουμένης, ἐν εὐλαβείᾳ κραυγάζοντες·
Μᾶρκε σὺν τῇ μητρί σου, Μαρίᾳ, καὶ Βαρνάβα,
Ῥόδη παιδίσκη καὶ Ὀνησιφόρε,
Σίμων σὺν τῇ συνεύνῳ σου καὶ τοῖς υἱοῖς σου,
Ἀλεξάνδρῳ καὶ Ῥούφῳ,
Θεόδωρε καὶ Λούκιε, Ἱεράρχαι,
σὺν Λουκίῳ, Ἀρόᾳ, Κυπρίλλᾳ καὶ Λουκίᾳ
καὶ τοῖς σὺν ὑμῖν ἀνωνύμοις Μάρτυσι,
Κύριλλα καὶ Τρυφωνία,
μὴ παύσησθε Χριστῷ τῷ εὐϊλάτῳ πρεσβεύοντες
ὑπὲρ τῶν τιμώντων ὑμῶν τὴν πανσεβάσμιον σύναξιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,
εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, τοῦ Πέτρου ὁ μαθητής,
Βαρνάβα ἀνεψιὸς τοῦ θεόφρονος,

θεόπνους Εὐαγγελίου
τοῦ ἱεροῦ συγγραφεύς,
Μᾶρκε, τῆς Κυρήνης
ὁ Ἀπόστολος,
σὺν ἔμφρονι Σίμωνι,
τοῦ Κυρίου ἐπάραντι
Σταυρὸν ἐπ᾽ ὤμων
καὶ Αὐτοῦ Εὐαγγέλιον
ἐν τοῖς πέρασιν
οἰκουμένης κηρύξαντι,
ἅμα σὺν γενναιόφρονι
χορῷ, τῷ ἀθλήσαντι
ἐν τῇ Κυρήνῃ πρὸς δόξαν
Λόγου Θεοῦ πανοικτίρμονος,
παρέχοντος πᾶσι
τοῖς Αὐτὸν δοξολογοῦσι
τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Σίμων, Κυρήνης θεῖε βλαστέ,
ὁ ἐπωμάδιον Κυρίου ἀράμενος
τὸ Ξύλον τὸ ζωηφόρον,
σὺν ὁμοζύγῳ τῇ σῇ,
ἣν μητέρα Παῦλος
θεῖος κέκληκε,
καὶ τέκνων εὐσήμων σου
ξυνωρίδι θεόφρονι,

τῷ Ἀλεξάνδρῳ
καὶ τῷ Ῥούφῳ, φρουρήσατε
τοὺς ἐν ᾄσμασιν
εὐλαβῶς ἀνακράζοντας·
Θεῖοι Κυρήνης ἔφοροι
καὶ ἄγρυπνοι φύλακες
ἁπάσης τῆς οἰκουμένης,
οἱ τῷ Χριστῷ παριστάμενοι,
Αὐτὸν δυσωπεῖτε
ταῖς ψυχαῖς ἡμῶν διδόναι
τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις, Ἱεραρχῶν ἡ δυάς,
στεῤῥόφρον Λούκιε, φωσφόρε Θεόδωρε,
Κυρήνης λαμπροὶ φωστῆρες,
σὺν ἀθλητῇ βουλευτῇ,
εὐσθενεῖ Λουκίῳ,
καλλιμάρτυρες,
Ἀρόα πανεύφημε
καὶ Λουκία πανύμνητε,
σὺν τῇ Κυπρίλλᾳ
τῇ πανσέμνῳ καὶ πλήθεσι
διὰ Κύριον
σὺν ὑμῖν ἐναθλήσασι·
Πρόβολοι γενναιότητος,

χρηστότητος πρότυπα
καὶ ἀριστείας πυξία,
θεόθεν καθαγιάζετε
πιστῶν τὰς χορείας
συναχθείσας νῦν τιμῆσαι
ὑμῶν τὴν σύναξιν.

Δόξα. Ἦχος πλ. δ΄.

Τοὺς ἐγείραντας τρόπαια εὐσεβείας
Ἀποστόλους, Ἱεράρχας καὶ Μάρτυρας,
τοὺς ἐν Κυρήνῃ ἐξαιρέτως τιμωμένους,
ὡς αὐτῆς ἀντιλήπτορας εὐφημήσωμεν κράζοντες·
Οἱ θείᾳ ἰσχύϊ ῥωννύμενοι
καὶ Θεὸν δοξάσαντες λόγοις καὶ πράξεσι,
σὺν Γεωργίῳ τροπαιοφόρῳ,
τὸν διὰ μυστικοῦ ὕδατος εἰς αἰῶνας
δροσίζοντος ψυχὰς τῶν Κυρηναίων,
τὰς αὐχώσας ἡμῶν ἐκ τῆς χαμαιζηλίας καρδίας
νάμασι ποτίσατε ἀφθαρσίας
καὶ σώσατε ὑμῶν παρακλήσεσιν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν
ἀφράστως συλλαβοῦσα σαρκί,
Μήτηρ Θεοῦ τοῦ Ὑψίστου,
σῶν οἰκετῶν παρακλήσεις δέχου, Πανάμωμε,
ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων,

νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη
δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις... τὸ Τρισάγιον
καὶ τὸ Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸ θεόλεκτον σμῆνος Ἁγίων μέλψωμεν
τῆς ἐν Λιβύῃ Κυρήνης,
οἰκονομίας σεπτοὺς
Διακόνους θείας, ὕμνοις πανευσχήμοσι
σὺν Ἀποστόλων τῷ χορῷ,
εὐκλεῶν Ἱεραρχῶν
ὁμάδι καὶ καλλινίκων
Μαρτύρων δήμῳ ἐνθέῳ,
αὐτῶν πρεσβείας ἐξαιτούμενοι.

Θεοτοκίον. Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.



# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Κυρήνης φωτιστήν,
πνευματέμφορον Μᾶρκον,
συγγράψαντα σοφῶς
Εὐαγγέλιον θεῖον
καὶ πίστει ἀθλήσαντα
μύστην ὥσπερ οὐράνιον
καὶ διάκοσμον
Ἀλεξανδρείας τοῦ θρόνου
εὐφημήσωμεν
Ἀναιρεθέντων Μαρτύρων
Κυρήνης σὺν τάγμασι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Σεπτῶν Ἱεραρχῶν,
Ἀποστόλων ἐνδόξων
καὶ δήμου εὐκλεῶν
ἀθλοφόρων, Παρθένε,
φαιδρότης καὶ στήριγμα
καὶ σεμνὸν ἀγαλλίαμα,
ῥύου θλίψεων
καὶ τοῦ ἐχθίστου παγίδων
τοὺς προστρέχοντας
σῇ ἀῤῥαγεῖ προστασίᾳ
καὶ σκέπῃ ἀείποτε.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Λουκία πάνσεμνε, Ἀρόα ἔνθεε,
Κυπρίλλα πάγκαλε, τρισμάκαρ Λούκιε,
ἀναιρεθέντων εὐκλεῶς Μαρτύρων σεπτὴ χορεία,
Σίμων, σκεῦος Χάριτος, ὃν ἠγγάρευσαν ἄνομοι
τὸν Σταυρὸν τοῦ Κτίσαντος τοῦ Υἱοῦ ἆραι, χαίρετε
σὺν Μάρκῳ, συγγραφεῖ θεοπνεύστῳ θείου Χριστοῦ Εὐαγγελίου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ Παντάνακτος Θεοῦ φιλόστοργε,
ἐπιστηρίζουσα ἐξ ὕψους δόξης σου
μὴ διαλείπῃς τοὺς πιστῶς ὑμνοῦντάς σου μεγαλεῖα,
σκέπουσα ἑκάστοτε, ἀκλινῶς ἐποπτεύουσα

καὶ καθαγιάζουσα τοὺς θερμῶς δεομένους σου
καὶ πόθῳ ἐνδομύχῳ βοῶντας· Χαῖρε, ἡμῶν παραμυθία.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Δεῦτε τιμήσωμεν ψαλμοῖς καὶ ᾄσμασι
θεόπνουν Σίμωνα, τὸν ἰσαπόστολον,
Κυρήνης γόνον τὸν λαμπρόν, σὺν Μάρκῳ πνευματοφόρῳ,
τῷ κατακοσμήσαντι τὴν κλεινὴν Ἀλεξάνδρειαν,
βουλευτῇ ἀλκίφρονι, νῦν, Λουκίῳ, καὶ τάγματι
Μαρτύρων ἀνωνύμων Κυρήνης, ἅμα τριάδι ἐπωνύμων.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον· Ὁσιακόν (Ματθ. ι΄ 32-33, 37-38, ιθ΄ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρα-

νοῖς. Ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

### Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις, Ἐλεῆμον,...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

### Ἰδιόμελον. Ἦχος πλ. β΄.

Σεμνύνεται Κυρήνη ἡ περίδοξος
τῇ ὑμῶν προστασίᾳ καὶ ἀντιλήψει,
Ἅγιοι πανεύφημοι, Ἀπόστολοι, Ἱεράρχαι καὶ Μάρτυρες·
ὑμεῖς γὰρ καλῶς τὸν ἀγῶνα τελέσαντες
καὶ Κύριον δοξάσαντες λόγοις καὶ πράξεσιν

ἀπήλθετε Αὐτῷ αἰωνίως συνευφραίνεσθαι,
τῷ παρέχοντι πᾶσι τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

Εἶτα ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ Ἀκροστιχίς·

«Κυρήνης θεόλεκτον ὑμνῶ σμῆνος Ἁγίων. Χ.»

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Κυρήνης θεόλεκτον ὁρμαθὸν
Ἁγίων ἐν ὕμνοις
εὐφημήσωμεν οἱ πιστοί,
Ποιμένας σεπτοὺς καὶ Ἀποστόλους
σὺν τοῦ σταδίου πρωτάθλοις καὶ Μάρτυσιν.

Ὑμνοῦντες ἐκθύμως τὰς ἱερὰς
ὑμῶν ἀλγηδόνας
καὶ ἱδρῶτας καὶ ὀχετοὺς
αἱμάτων θερμὰς ὑμῶν πρὸς Κτίστην
λιτάς, Κυρήνης, αἰτούμεθα, Ἅγιοι.

Ῥωννύμεθα πάντες ὑμῶν εὐχαῖς
Θεοῦ πρὸς τὸν Λόγον,
ἀντιλήπτορες καὶ φρουροὶ
Κυρήνης, φωσφόροι Ἱεράρχαι
καὶ Ἀποστόλων χορεῖαι σὺν Μάρτυσι.

Θεοτοκίον.

Ἡ μόνη μερόπων καταφυγὴ
ἐν κλύδωσι βίου

καὶ ἀνάγκαις καὶ συμφοραῖς,
ἐπάκουσον σοῦ τῶν δεομένων
ἱκεσιῶν, Θεοκῦμον πανάχραντε.

Ὠδὴ γʹ. Οὐρανίας ἁψῖδος.

Νῦν τιμῶντές σε, Μᾶρκε,
ὡς φωτιστὴν πόλεως
τῆς Κυρήνης καὶ οἰκουμένης
πάσης ὑμνοῦμέν σε,
τὸν τῆς Μαρίας υἱὸν
καὶ Πέτρου τοῦ πανευφήμου
συνεργόν, συνέκδημον
καὶ συνακόλουθον.

Ἡ τοῦ Μάρκου, Μαρία,
μῆτερ σεμνή, οἶκόν σου
ἔδωκας δειπνῆσαι Κυρίῳ
τῷ Παντοκράτορι
σὺν Μαθηταῖς τοῖς Αὐτοῦ
πρὸ πάθους τοῦ σωτηρίου
ἐν Σιών, πανεύφημε
γῦναι καὶ πάντιμε.

Σαγηνεύσας, Βαρνάβα,
ἔθνη τοῖς σοῖς ῥήμασι
Ἐκκλησίαν Ἀντιοχείας
σὺν Παύλῳ ἵδρυσας,
ἐκ σοῦ πατρὸς ἀληθῶς

ὁ Κυρηναῖος ὑπάρχων,
ἔνθεε Ἀπόστολε,
Κύπρου διάκοσμε.

Θεοτοκίον.

Θεοτόκε Παρθένε,
Χριστιανῶν καύχημα,
γλυκασμὲ τῶν θείων Ἀγγέλων
καὶ καταφύγιον
ἐμπεριστάτων πιστῶν,
ἡμᾶς ἀεὶ ἐλεοῦσα
μὴ ἐλλείπῃς, Δέσποινα,
σὲ μακαρίζοντας.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Σίμων ἔνθεε, Κυρήνης γόνε,
ὁ ἀράμενος Σταυρὸν Κυρίου
ἀκουσίως καθ᾽ ὁδὸν πρὸς τὴν σταύρωσιν
καὶ ἑκουσίως κηρύξας τὸ ὄνομα
ἐν τῇ Συρίᾳ Αὐτοῦ τὸ πανάγιον,
καταξίωσον ἐπαίρειν τοὺς ἀνυμνοῦντάς σε
ζυγὸν τὸν ἐλαφρὺν Χριστοῦ ἀείποτε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Πανευλόγητε Θεογεννῆτορ,
καταφύγιον ἐμπεριστάτων,

θλιβομένων ἀλγεινῶς παραμύθιον
καὶ προσευχῆς ταχυδρόμε τῶν δούλων σου
πρὸς τὸν εὐΐλατον Τόκον καὶ Κτίστην σου,
σκέπε πάντοτε καὶ ῥύου δεινῆς κακώσεως
καὶ βλάβης δυσμενοῦς τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Εὐστοργίας ἀκρώρεια,
Ἀλεξάνδρου Μῆτερ καὶ Ῥούφου πάνσεμνε,
Παύλῳ θείῳ διηκόνησας,
τῷ μητέρα σε ἐπονομάζοντι.

Οὐρανόθεν, Ἀλέξανδρε,
στέφος μαρτυρίου χρυσοῦν ἀπείληφας,
Ἐπισκόπου Ῥούφου ὅμαιμε
καὶ υἱὲ τοῦ Κυρηναίου Σίμωνος.

Λαμπηδών, Ῥοῦφε πάμφωτε,
πέφηνας Κυρήνης, ἧς ἐχρημάτισας
Ἱεράρχης ἐνθεώτατος
καὶ χειραγωγὸς πιστῶν πρὸς θέωσιν.

Θεοτοκίον.

Ἐλεοῦσα τοὺς δούλους σου
μὴ ἐλλείπῃς ὕμνοις σε μεγαλύνοντας,
εὐσυμπάθητε Παντάνασσα,
Κεχαριτωμένη Μητροπάρθενε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Κέρας ἀθλητῶν
Ἱερομαρτύρων πέφηνας,
Ἱεράρχα τῆς Κυρήνης εὐπρεπές,
ὁ Χριστὸν δοξάσας ἄθλοις σου, Θεόδωρε.

Τεῖχος ἀῤῥαγὲς
εὐσεβείας, μάκαρ Λούκιε,
ἀνεδείχθης, ἀρχιθῦτα εὐλαβὲς
τῆς Κυρήνης καὶ πυρσὲ Χριστοῦ τῆς πίστεως.

Ὄλβον ἀθλητῶν
ὡς γενναίων, πάνυ Λούκιε,
σὲ κατέγνωμεν, Κυρήνης βουλευτά,
μαρτυρίου ὁ λαβὼν ἐν Κύπρῳ στέφανον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν
παρακλήσεσι, Μητρόθεε,
καταπαύουσα σκιρτήματα σαρκός,
Ἐλεοῦσα, τῶν πιστῶς μακαριζόντων σε.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ὑπέρτιμον μνήμην μεγαλύνοντες
τὴν ὑμῶν, πανευσθενεῖς ἀθληφόροι,
Ἀρόα Μάρτυς, Κυπρίλλα ὀλβία
καὶ σὺν Λουκίᾳ συνάθλων ἀνώνυμε

τοῦ Θεοδώρου γυναικῶν
τοῦ σεπτοῦ δῆμε, Κτίστην δοξάζομεν.

Μνημόνευε τῶν μνημονευόντων σου
Κυρηναῖε ἰσαπόστολε, Σίμων,
ὁ τὸν Σταυρὸν ἐπωμάδιον ἆραι
ἀγγαρευθείς, σταυροφόρε πανεύφημε,
ἄχρι τοῦ λόφου Γολγοθᾶ
τοῦ Χριστοῦ καὶ Σωτῆρος τῆς κτίσεως.

Νικήτορας κατ' ἐχθίστου δείξατε
τοὺς ὑμᾶς πανευλαβῶς εὐφημοῦντας,
θεόφρον Ῥοῦφε σὺν τῷ Ἀλεξάνδρῳ
καὶ τῇ μητρὶ τῇ ὑμῶν, εὐωδέστατα
Κυρήνης ῥόδα, εὐσεβῶν
Χριστωνύμων καρδίας ἡδύνοντα.

Θεοτοκίον.

Ὡραϊσμα τῶν μητέρων, Δέσποινα,
καὶ ἀγλάϊσμα παρθένων, συντήρει
ἁγνὴν ἡμῶν νεολαίαν καὶ σκέπε
τοὺς ἐκζητοῦντας τὴν χάριν σου, ἄχραντε,
καὶ σὴν ἑτοίμην ἀρωγὴν
ἐν τοῦ βίου δειναῖς περιστάσεσι.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἁγίων δῆμον Κυρηναίων εὐφημήσωμεν,
τῆς εὐσεβείας καὶ χρηστότητος κλεΐσματα,
Ἀποστόλους, Ἱεράρχας καὶ Ἀθλοφόρους,

διαφόροις ἐν καιροῖς τοὺς διαλάμψαντας
ὡς αὐγάσματα τῆς πίστεως φωτόλαμπρα,
πόθῳ κράζοντες· Χαίροις, Σμῆνος πανάγιον.

## Ὁ Οἶκος.

Ἅγιοι τῆς Κυρήνης,
Ἀθληταί, Ἱεράρχαι
καὶ Κήρυκες Χριστοῦ ἀληθείας,
οἱ φωτίσαντες μαρμαρυγαῖς
τῶν ῥημάτων πάντας ἐν σκιᾷ, ἔνδοξοι,
κειμένους, διαλύσατε
τὸν ζόφον τῶν ὑμῖν βοώντων·

Χαῖρε, Θεόδωρε ἀθλοφόρε·
χαῖρε, ὦ Λούκιε θεοφόρε.

Χαῖρε, Παρακλήτου, Βαρνάβα, ὁ ἔνοικος·
χαῖρε, Θεανθρώπου, Μαρία, διάκονος.

Χαῖρε, Μᾶρκε ἱερώτατε, Πέτρου θείου συνεργός·
χαῖρε, Σίμων ἐνθεώτατε, σταυροφόρος ὁ σεπτός.

Χαῖρε, ῥεῖθρον, Ἀρόα καλλιμάρτυς, ἀνδρείας·
χαῖρε, ῥόδον, Λουκία, ψυχικῆς εὐγενείας.

Χαῖρε, Ἀλέξανδρε, Μάρτυς στεῤῥότατε·
χαῖρε, Ἐπίσκοπε Ῥοῦφε θειότατε.

Χαῖρε, φανὸς, Κυπρίλλα, Μαρτύρων·
χαῖρε, λαμπρὸς χορὸς ἀθλοφόρων·

Χαίροις, Σμῆνος πανάγιον.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΗ΄ Νοεμβρίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ σύναξιν ἐπιτελοῦμεν πάντων τῶν ἐν τῇ Κυρήνῃ διαλαμψάντων Ἁγίων, ἐν οἷς καὶ τοῦ ἱδρυτοῦ αὐτῆς Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου, τῆς μητρὸς αὐτοῦ Μαρίας, τοῦ ἀνεψιοῦ αὐτῶν Βαρνάβα καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀποστόλου Ἀριστοβούλου, τοῦ Ἀποστόλου Σίμωνος, τοῦ ἀραμένου τὸν Σταυρὸν τοῦ Κυρίου, καὶ τῆς συζύγου αὐτοῦ, ἧς τὸ ὄνομα οἶδε Κύριος, τῶν υἱῶν αὐτῶν, Ἀποστόλου Ἀλεξάνδρου καὶ Ἀποστόλου Ῥούφου, τοῦ Ἀποστόλου Ὀνησιφόρου, τοῦ Ἀποστόλου Λουκίου, τῆς ἀποστολικῆς παιδίσκης ἐν τῇ οἰκίᾳ Μαρίας Ῥόδης, τοῦ Ἐπισκόπου Ῥούφου, μετασχόντος τῆς ἐν Νικαίᾳ Συνόδου, Θεοδώρου προεξάρχοντος Ἐπισκόπου Κυρήνης, τοῦ Ἱερομάρτυρος μετὰ τῶν μαθητριῶν αὐτοῦ, Κυπρίλλας, Ἀρόας καὶ Λουκίας, Θεορώρου ἑτέρου Ἐπισκόπου Κυρήνης, Ἱερομάρτυρος, τοῦ Μάρτυρος Ἁγίου Λουκίου, τοῦ Βουλευτοῦ, καὶ τοῦ συνοδοιπόρου αὐτοῦ, Ὁμολογητοῦ Ἁγίου Διγνιανοῦ, τοῦ διακόνου τοῦ ἑτέρου Ἁγίου Ἱερομάρτυρος Θεοδώρου, Εἰρηναίου καὶ τῶν ἀναγνωστῶν αὐτοῦ Σεραπίωνος καὶ Ἀμμωνίου, τῆς Ἁγίας Τρυφωνίας, τῆς θυγατρὸς αὐτῆς, παρθενομάρτυρος Κυρίλλας ἢ Σύριλλας καὶ σὺν τούτοις τοῦ ἐπισκέπτου Τροπαιοφόρου, Ἁγίου Γεωργίου.

Στίχοι.

Κυρήνης σμῆνος θεοειδὲς Ἁγίων,
Χριστοῦ κλῆσιν ὡμολογήσατε πίστει.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σίμων, ὁ τοῦ Κυρίου
τὸν Σταυρὸν ἄρας, κλῆσιν
Αὐτοῦ ἐκήρυξας
ἐν οἰκουμένῃ τρίβους
ἐνθέων Ἀποστόλων
καὶ κηρύκων τῆς πίστεως
βαδίζων, ἄνερ σεπτὲ
καὶ σταυροφόρε, χαίρων.

Μαρτυρίου ἐν Κύπρῳ,
βουλευτὰ τῆς Κυρήνης,
τρισμάκαρ Λούκιε,
τὸ στάδιον ἐκθύμως
διήνυσας καὶ στέφος
ἀφθαρσίας ἀπείληφας
ἐκ τῶν χειρῶν τοῦ Χριστοῦ,
τοῦ θείου στεφοδότου.

Ἡ πανένδοξος μήτηρ
Ἀλεξάνδρου καὶ Ῥούφου,
ἐνθέου Σίμωνος

ἡ σύνευνος, τιμάσθω
παρὰ τῆς Ἐκκλησίας
τῆς Κυρήνης, ἧς βλάστημα
ὑπῆρχε θεοειδὲς
αὐτὴ καὶ μυροβόλον.

Θεοτοκίον.

Νέκρωσόν μου σαρκίου
τὰ σκιρτήματα τάχος,
Θεογεννήτρια,
Κυρία Ἐλεοῦσα,
καὶ ζώωσόν μου πνεῦμα,
θαυμαστὴ μητροπάρθενε,
τοῦ Ζωοδότου Χριστοῦ
εὐλογημένη Μῆτερ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Οὐρανοδρόμον
ὑπόδειξόν μοι πορείαν,
ἣν ἀθλήσει ἐβάδισας, Μάρτυς
Ἱεράρχα, χαίρων,
Θεόδωρε τρισμάκαρ.

Στῦλος ἀνδρείας
ὑπάρχων, Λούκιε σῶφρον,
Ἱεράρχα Κυρήνης γενναῖε,
ῥάβδῳ σῶν ῥημάτων
ἐστήριξας σοὺς ἄρνας.

Ἀρόα Μάρτυς
σὺν τῇ ἀλκίμῳ Κυπρίλλᾳ
καὶ Λουκίᾳ, στολὰς παρθενίας
τὰς ὑμῶν αἱμάτων
ἐχρώσατε ῥανίδας.

Θεοτοκίον.

Γῆθεν πρὸς δόμους
ἀθανασίας σοὺς δούλους,
Ἐλεοῦσα, κατεύθυνον πάντας
μεγαλύνοντάς σε,
Κυρία Θεοτόκε.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰθύντορες Κυρήνης
τοῦ λαοῦ πρὸς πόλον
ὤφθητε, Ῥοῦφε σοφὲ καὶ Θεόδωρε,
σὺν τῷ Λουκίῳ τῷ θείῳ,
ἱεροφάντορες.

Ὡς βάθρα εὐσεβείας,
Μᾶρκε καὶ Βαρνάβα,
ὑμῶν τὴν μνήμην τὴν πάνσεπτον σέβοντες
ὑμῶν μαρτύριον θεῖον ἐγκωμιάζομεν.

Νῦν, Ἅγιοι Κυρήνης,
βοηθῆσαι πᾶσιν

ὑμᾶς τιμῶσιν ἐν ᾄσμασι σπεύσατε
καὶ εὐλαβῶς ἐκτελοῦσιν ὑμῶν τὴν σύναξιν.

Θεοτοκίον.

Χαρίτωσον, Παρθένε,
Κεχαριτωμένη,
τῶν εὐσεβῶν, Ἐλεοῦσα, συστήματα
Ἁγίων δῆμον Κυρήνης ἐγκωμιάζοντα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἁγίων εὐφημήσωμεν
Κυρήνης τὰ συστήματα
ἐξ Ἀποστόλων φωσφόρων,
Ἱεραρχῶν καὶ Μαρτύρων
συγκείμενα κραυγάζοντες·
Ἡμῶν προστάται πέλετε
καὶ θεῖοι ἀντιλήπτορες
τῶν εὐλαβῶς συνελθόντων
ὑμῶν τὴν σύναξιν μέλψαι.

Θεοτοκίον.

Χριστιανῶν κραταίωμα
καὶ σθένος καὶ ὀχύρωμα
καὶ θεία σκέπη, Παρθένε,
Μῆτερ Θεοῦ τοῦ Ὑψίστου,
ἡ ἐλεοῦσα ἅπαντας
τοὺς σοὶ πιστῶς προσφεύγοντας,

εὐλόγει καὶ ἁγίαζε
καὶ περιφρούρει σοὺς δούλους
εἰς τοὺς αἰῶνας αἰώνων.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δʹ
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος αʹ. Πανεύφημοι Μάρτυρες.

Βαρνάβα σεπτὸν ἀνεψιόν,
κατὰ πνεῦμα ἔνθεον
υἱὸν τοῦ Πέτρου, τιμήσωμεν,
λόγοις φωτίσαντα
τὸν λαὸν Κυρήνης
ἐν σκιᾷ καθεύδοντα
εἰδώλων τῆς ἀπάτης, θεόπνευστον
Μᾶρκον, συγγράψαντα
Εὐαγγέλιον τὸ ἅγιον
καὶ Μαρτύρων
ἀνύσαντα σκάμματα.

Κυρήνης τὸν γόνον, τοῦ Χριστοῦ
τὸν Σταυρὸν ἀράμενον
ἐπὶ τῶν ὤμων, τιμήσωμεν,
Σίμωνα πάντιμον,
καὶ ἁγιασθέντα
τῶν ἱδρώτων ῥεύμασι
καὶ θρόμβοις τῶν αἱμάτων, γηθόμενοι,
Τούτου, κραυγάζοντες·

Χαῖρε, πόθῳ ὁ τὰ σκάμματα
Ἀποστόλων
βαδίσας, θειότατε.

Θεόδωρον μέλψωμεν πιστοὶ
τὸν Ἱερομάρτυρα,
Λούκιον, θεῖον Ἐπίσκοπον,
Ῥοῦφον, Ἀλέξανδρον
καὶ αὐτῶν Μητέρα,
Βουλευτὴν νῦν Λούκιον,
Κυπρίλλαν καὶ Λουκίαν πανύμνητον
σὺν τῇ στεῤῥόφρονι
τῇ Ἀρόᾳ, ἀντιλήπτορας
τῆς Κυρήνης
καὶ θείους κοσμήτορας.

Πιστῶν αἱ χορεῖαι εὐλαβῶς
συναχθεῖσαι σήμερον
Ἁγίων μέλψωμεν σύλλογον
πανιερώτατον
εὐκλεοῦς Κυρήνης
ἐκβοῶντες· Ἔνθεοι
Ἀπόστολοι, στεῤῥοὶ Καλλιμάρτυρες
καὶ παμμακάριστοι
Ἱεράρχαι, ἐποπτεύετε
οὐρανόθεν
ὑμᾶς τοὺς γεραίροντας.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε φιλέορτοι πάντες εὐλαβῶς συναχθέντες
κοινοῖς ἐν ὕμνοις ἐγκωμιάσωμεν σήμερον
πάντας τοὺς ἐν διαφόροις χρόνοις διαλάμψαντας
Ἁγίους τῆς Κυρήνης ὑπὲρ ἥλιον
ἐν κατανύξει κραυγάζοντες·
Ἀπόστολοι πνευματέμφοροι καὶ Ἱεράρχαι θεόσοφοι
σὺν Μαρτύρων καλλινίκων χορείαις,
οἱ λόγοις καὶ πράξεσι Θεῷ εὐαρεστήσαντες,
μὴ παύσησθε Αὐτὸν ἡμῖν ἱλεούμενοι
τοῖς ἑορτάζουσι πόθῳ ὑμῶν τὰ κατορθώματα.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε,
Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν,
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος· πρὸς Γαλάτας (Κεφ. ε΄ 22 - στ΄ 2).
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος.

Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. ιγ΄ 17-23).
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ Ἑβδομάδος.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις, θεία σύναξις παμφαῶν
τῆς Κυρήνης ἄστρων,
φωτισάντων πᾶσαν τὴν γῆν,
Ἱεράρχαι θεῖοι,
Ἀπόστολοι φωσφόροι
καὶ σμῆνος Ἀθλοφόρων
ἀξιοθαύμαστον.

Λούκιε, θειότατε Βουλευτά,
σὺν σεμνῇ Λουκίᾳ,
τῇ Ἀρόᾳ τῇ εὐσταλεῖ
καὶ σὺν τῇ Κυπρίλλᾳ
καὶ θείῳ Θεοδώρῳ,
ἀνώνυμοι Κυρήνης
χαίρετε, Μάρτυρες.

Μᾶρκε σὺν Μαρίᾳ, τῇ σῇ μητρί,
θεαυγὲς Βαρνάβα,
σταυροφόρε Σίμων σεπτέ,
Ῥοῦφε σὺν μητρί σου
καὶ πάνυ Ἀλεξάνδρῳ,
ἀλκίφρονες Κυρήνης,
χαίρετε, Ἅγιοι.

Μάρτυρες ἀνώνυμοι τοῦ Χριστοῦ
οἱ ἀναιρεθέντες
ἐν Κυρήνῃ ὥσπερ ἀμνοὶ
πίστεως, τοῦ πόλου
διακοσμεῖτε δόμους
συγχαίροντες Μαρτύρων
δήμοις ἀείποτε.

Τετράστιχον.

Ἀθανάσιον, Κυρήνης Ἐπίσκοπον,
περιφρουρεῖτε, Κυρηναῖοι Ἅγιοι,
ὑμῶν ὁμόζηλον πέλοντα ἀγώνων
καὶ ὑμᾶς τιμῶντα, βοᾷ Χαραλάμπης.

www.tezaurliturgic.ro



## Τρισσεῦον Κύριε Ἐλέησον, ὡς ἐν τῇ λιτῇ τοῦ Ἁγίου Ὄρους διὰ τοὺς ἐν Κυρήνῃ Ἁγίους

Ἀθλητὰ Θεόδωρε, * τῆς Κυρήνης Πρόεδρε, δώρησαί μοι χάριν σου.

Μᾶρκε πνευματέμφορε, * τοῦ Εὐαγγελίου σου * ἀστραπαῖς με λάμπρυνον.

Ὦ Βαρνάβα ἔνθεε,* οὐρανίου χάριτος * πλῆσον τοὺς ἱκέτας σου.

Μάρκου μῆτερ πάντιμε, * ὦ Μαρία, οἶκόν με * δεῖξον Θείας Χάριτος.

Σίμων εὐσυμπάθητε, * Κυρηναῖε, ἆρόν μου * τὸν σταυρὸν τῶν θλίψεων.

Βλάστημα, Ἀλέξανδρε, * Κυρηναίου Σίμωνος, * σθένους νάμα βλῦσόν μοι.

Ῥοῦφε, γόνε Σίμωνος, * Κυρηναίου, ῥόδον με * δεῖξον ἁγιότητος.

Σίμωνος ὁμόζυγε, * Παύλου ἡ συνέκδημος * σπεῦσον βοηθῆσαί μοι.

Ἱεράρχα Λούκιε * τῆς Κυρήνης, ἴθυνον * πρὸς Θεὸν ἱκέτας σου.

Βουλευτῶν ὡράϊσμα, * Λούκιε καλλίνικε, * ἀκλινῶς βοήθει μοι.

Ὦ Λουκία, ἄνωθεν * καὶ Κυπρίλλα, δότε μοι, * σὺν Ἀρόᾳ, δύναμιν.

Μάκαρ Ἀριστόβουλε,* Ἀποστόλων σύσκηνε, * φώτιζε τὰς τρίβους μου.

Τροπαιοῦχε Ἅγιε, * θαυμαστὲ Γεώργιε, * φρόνημά μου πτέρωνε.

Ὡς Χριστοῦ τῆς πίστεως* φῶς, Ὀνησιφόρε, σὲ * μέλπων ζόφου ῥύομαι.

Ῥόδη, ῥόδον δεῖξόν με * ὦ παιδίσκη φίλεργε, * σάλπιγγα χρηστότητος.

Εὔσημε Διγδιανέ, * σὺν Λουκίῳ δεῖξόν με * ὄλβον θείας πίστεως.

Τῆς Κυρήνης Πρόεδρε, * Ῥοῦφε, Ὀρθοδόξου με * ἔμπλησον φρονήματος.

Δώρημα, Θεόδωρε, * τῆς Κυρήνης τέλειον, * δώρησαί μοι χάριν σου.

Σεραπίων δότε μοι, * Εἰρηναῖε, φρόνημα * θεῖον καὶ Ἀμμώνιε.

Τρυφωνία, εὔοσμον * τῆς Κυρήνης βλάστημα, * ἥδυνον τὸν βίον μου.

Κύριλλα, πανεύοσμον παρθενίας κύμινον, σκέπε τοὺς τιμῶντάς σε.

Κύριλλα, πανένδοξε * τοῦ Χριστοῦ ἀθλήτρια, * ῥύου με στενώσεων.

www.tezaurliturgic.ro

## Τροπάριον πρὸς Κύριον δεητικόν.

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Σῶτερ, τὸ φῶς ἡμῶν, ἡ ζωὴ
καὶ ἡ ἀνάστασις, θεόθεν περίσκεπε
καὶ φρούρει τὸν Ἱεράρχην
Κυρήνης τὸν εὐλαβῆ,
τῆς ἀγάπης στῦλον,
Ἀθανάσιον,
Ἁγίων δεήσεσι
Κυρηναίων, φιλάνθρωπε,
τῶν Ἀποστόλων,
Ἐπισκόπων συστήματος
καὶ συντάγματος
Ἀθλοφόρων, πανύμνητε,
ὧνπερ τὰ κατορθώματα
ὑμνεῖν κατεπείγομαι
εὐτάκτως, ὁ πολυτλήμων
δοῦλος τῆς Σῆς ἀγαθότητος
καὶ γνήσιος φίλος
τοῦ Κυρήνης Ἐπισκόπου,
τοῦ οὐρανόφρονος.



www.tezaurliturgic.ro

